J Adamson.
5.i.56

5/- W. P. Weale.

38, Aberdare Gdns.
N.W.6.
MAI 1791.

ΕΛΛΗΝΙΣΜΟΣ

ΤΟΜΟΣ ΠΡΩΤΟΣ



ΕΝ ΛΕΙΨΙΑΙ ΤΗΣ ΣΑΞΩΝΙΑΣ

ΤΥΠΟΙΣ ΠΡΟΚΟΥΣΙΟΥ

1835

ΓΡΑΜΜΑΤΙΚΗ




LIBRARY
DEC 27 1967
UNIVERSITY OF TORONTO

ΕΛΛΗΝΙΣΜΟΣ.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

Φρασικλῆς τάδε ἔγραψε τῷ βουλομένῳ μανθάνειν, οὔτι τὸ γραμματικὸν ἀτιμάζων γένος, ἀλλὰ παντὶ δῆλον ἡγησάμενος, ὅτι, οἷς ἄν τις ἐντραφῇ, ταῦτα ῥᾷον μιμήσεται, τὸ δ' ἐκτὸς τῆς τροφῆς γιγνόμενον ἑκάστοις χαλεπὸν, τά τ' ἄλλα καὶ λόγοις εὖ μιμεῖσθαι. Τῶν μὲν γὰρ τὰ τοιαῦτα ἔργον ποιουμένων ξυντιθέναι ὁρῶμέν τινας πολλῶν μὲν λόγων καὶ καλῶν μάλα ἐμπείρους ὄντας, τοῦ δὲ πράγματος, οὗ ἐπιχειροῦσι διδάσκειν, πολὺ ἀπολειπομένους. Ὧδε δὲ δῆλον· τῶν γὰρ τοιούτων οὐδεὶς ὅστις οὐ τὴν περὶ τὰ ἀρχαῖα σπουδὴν, ὀλίγην καὶ ἄλλως γιγνομένην, ἔτι ἐπιπονωτέραν πεποίηκεν. Καίτοι χρῆν γε πάντ' ἄνδρα ἐκ παντὸς τρόπου μηχανᾶσθαι, ὅπως, ὧν παρὰ τῶν προγόνων παραλαβὼν ηὐξήθη, τούτων τοῖς ἐφ' ἑαυτοῦ χάριν ὡς οἷόν τε ἀξιωτάτην ἀποδώσει· εἴη δ' ἂν που χάρις μεγίστη, διδάσκειν τοὺς νέους, ὅσα καὶ οἷα οἱ πατέρες πράττοντες ἔργῳ καὶ λόγῳ προσομιλοῦντες ἑκάστοις οὕτω μεγάλοι κατέστησαν. Χαλεποῦ δὲ ὄντος τούτου, μᾶλλον δὲ ἀδυνάτου μὴ εἰδότι τὴν γλῶσσαν, ᾗ χρώμενοι τὰ μὲν διωκτέα, τὰ δὲ φευκτέα ἀπέφηναν, ἡμεῖς ἀρξάμενοι ἀπὸ τῆς γραμματικῆς θεωρίας ἐξενηνόχαμεν οὐχ οἵαν τινὲς ἐπαγγελλόμενοί φασιν εἶναι, ἀλλ' ὁδῷ μετιόντες καὶ τὰ ὅμοια τοῖς ὁμοίοις ἀποδιδόντες, οὕτως ᾠόμεθα δεῖν ποιεῖσθαι τοὺς λόγους περὶ αὐτῶν, τοῦτο σκοποῦντες,

ὅπως, ᾗ ἂν ῥᾷστά τε καὶ ἀνυσιμώτατα μάθοιεν, ταύτῃ ὑπάρξει αὐτοῖς τὰ ὑπὸ τοῦ λόγου ὀφειλόμενα ἀκοῦσαι.

Χρὴ τοίνυν διδάσκειν πρῶτον τοῦτ᾽ αὐτὸ, ἵνα μή τις δοξάσῃ μανθάνειν μὲν τὰ λεγόμενα ὑφ᾽ ἡμῶν, τὸ δὲ τούτου γίγνηται πᾶν τοὐναντίον. Τῆς μὲν γὰρ γλώσσης τῆς παλαιᾶς γραμματικὴν κατὰ πάντα ἐντελῆ οὔτε τις ξυνέστησέ πω ἐν τῷ μακρῷ χρόνῳ, οὔτε γε ῥᾴδιον οὕτω ξυστήσασθαι, πρὶν ἄν τις εἰς μίαν τε ἰδέαν ξυνορῶν οἷός τε γένηται ἄγειν τὰ πολλαχῇ διεσπαρμένα καὶ αὖ κατ᾽ εἴδη ἱκανὸς διατέμνειν, ᾗ πέφυκεν ἕκαστον τῶν εἰωθότων λέγεσθαι. Αἴτιον δέ· εὐστροφίᾳ γὰρ κέχρηται τοσαύτῃ καὶ φιλοσοφίᾳ τοιαύτῃ, ὅσῃ καὶ οἵᾳ οὐδ᾽ ἂν ἓν ἔθνος ἔχοι ἐπιδεῖξαι περὶ τὴν αὑτοῦ γλῶσσαν οὔτε τῶν παλαιῶν οὔτε τῶν νεωτέρων· ὥστε, ὅσῳ πλεῖον ἀφέσταμεν ἡμεῖς τῶν τότε ἔθει καὶ παιδείᾳ καὶ τροφῇ, τοσούτῳ σχολῆς τε τῶν ἄλλων πλείστης ἂν εἴη καὶ αὖ τέχνης τε καὶ ἐπιμελείας μεγίστης δεόμενον. Τοὺς δέ γε ἐκ τῶν πολλῶν τῶν περὶ αὐτῆς γεγραμμένων, ὅ,τι ἂν τύχωσιν, ἐκλεγομένους καὶ εἰκῇ ἄνευ τέχνης ἐπιχειροῦντας ξυντιθέναι, θαυμαστὸν οὐδὲν, εἰ τὸ εἰκὸς ἀποδιδόασι, καὶ ἄπειροι τῆς τοῦ ὅλου ὄντες θεωρίας πλείω ἔβλαψαν ἢ ὠφέλησαν τοὺς ἐπιθυμοῦντας μανθάνειν. Ταῦτα δὴ ἐνθυμουμένους καὶ μεμνημένους, ὅτι οὐ βίᾳ οὐδὲ πλήθει δεῖ τοὺς νέους ἐν τοῖς μαθήμασιν, ἀλλὰ παίζοντας τρέφειν, ἄξιον ἀποδέχεσθαι γραμματικὴν, οἵαν ζητεῖν μὲν ξυνοπτικὸν ποιῆσαι τὸν μανθάνοντα, τὰ δὲ κομψὰ ἐκεῖνα καὶ ποικίλα πόῤῥωθεν ἀσπαζομένην. Οὐ γὰρ ἀλλ᾽ ἁπλᾶ τε καὶ πεφυκότως ἔχοντα θεωροῦσα ἡ τοῦ νέου ψυχὴ χαίρουσά τε ἂν παραδέχοιτο καὶ πολὺ πλεῖον ἐπιδιδοίη, πρὸς δὲ τὰ ποικίλα καὶ μηδαμόσε ἄλλοσε τείνοντα ἢ εἰς δόξαν

φιλοπονίας οὔτ᾽ ἂν ὁμοίως τι ἀπεντρύφη, νωθεστέρα τε αὐτὴ αὑτῆς ἀπαλλάξεται.

Οὕτω δὴ τούτων ὑποκειμένων ᾠήθημεν, τῶν μὲν ἄλλων διαλέκτων τὴν Ἀττικὴν πρῶτον ἀφορισάμενοι, πειρᾶσθαι δεῖν γυμνὴν καὶ μόνην αὐτὴν καθ᾽ ἑαυτὴν παρέχειν τοῖς βουλομένοις θεᾶσθαι, τὴν δὲ γραμματικὴν, ἁπλούστερον τὸ σχῆμα τῆς διδαχῆς ποιούμενοι, δίχα διελέσθαι, τὸ μὲν τοῦ τεχνολογικοῦ καλουμένου ἀποτεμόμενοι, τὸ δὲ τοῦ ξυντακτικοῦ, διανέμοντες εἰς ἑκάτερον τοῖν μεροῖν τὰ προσήκοντα ῥηθῆναι, πρὸς τούτῳ ἔχοντες τὸν νοῦν, τῷ μὴ διὰ πολλῶν μικρὰ, ἀλλὰ πολλὰ διὰ βραχέων εἰπεῖν· οὐ γὰρ τῶν φαύλων τι παραλιπεῖν αἰσχρὸν, ἀλλὰ περὶ μὲν ἀλλοτρίων ἀκριβῶς εἰπεῖν, τῶν δὲ ἀναγκαίων μηδὲ μεμνῆσθαι αἴσχιον *). Καὶ περὶ μὲν τῶν εἰς τὸ τεχνολογικὸν ξυντεινόντων Βουτμᾶνος τοῦ Γερμανοῦ πλεῖστα καὶ ὀρθότατα διδάξαντος, τούτων ὅσα τῇ τέχνῃ ἐδόκει πρόσφορα ἡμῖν εἶναι, ἀπολαβόντες κατεχρησάμεθα, γιγνώσκοντες ὡς, ἅ γε μείζω ῥαστώνην παρέχει μανθάνοντι, οὐκ ἄν τις εὕροι ζητῶν ἄλλα· τὰ δὲ τοῦ ξυντακτικοῦ, εἰδότες περὶ αὐτῶν τάς τε τῶν παλαιῶν καὶ τὰς τῶν νεωτέρων ἀναζητήσεις, ὡς ἂν οἰκειότατ᾽ ἔχοι τῇ ἡμετέρᾳ μεθόδῳ, οὕτω ξυνεστησάμεθα, τὰ μὲν ξυν-

---

*) Καὶ μὴν καὶ θαυμάζομεν τῶν γραμματικῶν, οἱ δὴ πολλάκις περὶ παντὸς μᾶλλον φαίνονται πραγματευόμενοι, ἢ περὶ τῶν εἰς γραμματικὴν τέχνην τεινόντων, ῥητορικῇ τινι καὶ ποιητικῇ καὶ λεξικογραφίᾳ ἀγαλλόμενοι ἐν τοῖς λόγοις. Εἰ δ᾽ ἡμεῖς ἐπὶ τέλει τῶν περὶ τὰς διαλέκτους εἰρημένων προσήψαμεν ξυνοπτικήν τινα περὶ μετρικῆς πραγματείαν, οὐχ ὡς ἀναγκαίας οὔσης αὐτῆς πρὸς τὴν γραμματικὴν διέξοδον οὕτω τὴν γνώμην εἴχομεν, ἀλλ᾽ ὡς ἀπεργασίαν τοῦ περὶ προσῳδίας κεφαλαίου ἠξιώσαμεν αὐτὴν προσθεῖναι.

τέμνοντες, τὰ δὲ ἐπανορθούμενοι, ἀποβλέποντες ἀεὶ εἰς τὴν χρείαν τῶν περὶ τὴν Ἑλλάδα διδασκαλείων.

*Ἐπειδὴ δὲ ἐνταῦθα λόγου γεγόναμεν, ἄξιον σκοπεῖν τὴν φύσιν τε καὶ γένεσιν τῆς Ἀττικῆς ξυντάξεως, τίνα τρόπον ἐγένετο καὶ ποία τίς ἐστιν. Ἀρχὴ μὲν οὖν τῆς σκέψεως ἡμῖν τὰ Ὁμήρου ἔπη ἂν εἴη· ταῦτα γὰρ Ἰώνων ποιησάντων, ὑπὸ πολυχρονίου ῥαψῳδικῆς τά τε ἄλλα καὶ τοῖς ὀνόμασι θαυμαστῶς ὡς ἀποτορνευόμενα τοσαύτης ἀρετῆς τε καὶ φήμης κεκοινώνηκεν, ὥστε πᾶς ἄν τις ὁμολογήσειεν, αὐτὰ εἰς ξύμπαντα τὸν Ἑλληνισμὸν πλεῖστον μέρος ἰδίᾳ τε καὶ δημοσίᾳ ξυμβαλέσθαι. Τεκμήριον δὲ τούτου· ἥ τε γὰρ ποίησις τῶν τότε ἐπὶ χρόνους πολλοὺς τοῦ ἐπικοῦ ἦν ἤθους ἐχομένη καὶ τὸ περὶ ἐκεῖνα ξυντακτικὸν ἐφάνη εἰς τὴν γλῶσσαν τῶν ποιητῶν ὥσπερ ῥεῦμα ἀποχετευόμενον. Ἡ δὲ ξύνταξις τῆς ἐπικῆς ποιήσεως, ὡς τὸ ὅλον εἰπεῖν, τὸ μὲν ἀκριβὲς κανόνων οὔπω εἶχεν, ἐγκλίσεσι δέ τισι καὶ ξυμπλοκαῖς ἐλευθερώτερον προσχρωμένη ὅμοια τῷ εὐκινήτῳ τῆς Ἰωνικῆς φύσεως ἀπειργάσατο. Ἀλλ' οὖν ἥ γε γραμματιστικὴ Ἀθηναίοις τῶν ἐπικῶν Μουσῶν πρῶτον ἐφήψατο, Ὁμήρου τε καὶ Ἡσιόδου καὶ Θεόγνιδος καὶ Φωκυλλίδου *). Ἑπομένη δὲ ταύταις ἦν λυρική τις Μοῦσα, τοὺς ῥυθμούς τε καὶ τὰς ἁρμονίας ἀναγκάζουσα οἰκειοῦσθαι ταῖς ψυχαῖς τῶν παίδων. Ἡ γὰρ ποίησις ἡ λυρικὴ, ἔκγονος οὖσα τῆς ἐπικῆς, πολλὴ δὴ ἀνεφάνη περὶ τοὺς Δωριέας ἅμα αὐξομένης τῆς περὶ μουσικὴν ἐπιμελείας **). Ἀλλὰ μὴν τῶν γε τότε Ἀρχί-*

---

*) *Καταλέγονται ἐν τούτοις καὶ ἀμυδρότερα ἡμῖν, οἷον τὰ Σόλωνος, ὑποθῆκαι Χείρωνος (Πίνδαρ. λειψ. 164. 171.), παραινέσεις Ἀμφιάρεω, μῦθοι λιβυκοὶ καὶ συβαριτικοί (Ἀριστοφ. Σφηξ. 1250.).*

**) *Ἀριστοφ. Νεφ. 965. Πλάτ. Πρωταγ. 326. α'. Πλουτάρχ. περὶ δόξης Ἀθηναίων. 348. β'.*

λοχος ἄλλα τε πολλὰ ἐπινοήσας εἴδη τῆς ποιήσεως καὶ μουσικῆς, καὶ δὴ καὶ τὸν ἴαμβον εὑρὼν τὴν στρογγύλην λέξιν ἣν ὁ προκατασκευάσας. Καὶ οὗτος μὲν τῆς Ὁμηρικῆς μᾶλλον ἀπελείπετο ξυνηθείας· Στησίχορος δὲ αὖ κατά τε παλαιὰς σκοποῦντι μαρτυρίας καὶ τεκμαιρομένῳ ἐξ ὧν ἔτι καὶ νῦν κεκτήμεθα αὐτοῦ λειψάνων ἐπὶ πλέον τῶν τότε φανήσεται τὴν Ὁμήρου Μοῦσαν ἀσπασάμενος· οὐ μὴν ἀλλ' οἱ μετὰ τούτους αὖ λυρικοὶ τῆς Αἰολίδος, Ἀλκαῖος καὶ Σαπφώ, εἴς τε τὸ ξυντακτικὸν καὶ εἰς τὴν ἄλλην κατασκευὴν μᾶλλον, ᾗ Ἀρχίλοχος ἡγεῖτο, ἐπορεύοντο*). Μετά γε μὴν Ἀρχίλοχον Ἀθηναῖοι ἐν τοῖς πρῶτα δοκοῦσιν ἀποδέξασθαι τὰ Σιμωνίδου, λέξει χρησαμένου μετρίως ἐχούσῃ ἐπικῆς ἀναλογίας καὶ ἤθει Ἀττικῷ μᾶλλον κεκραμένῃ. Διὸ δὴ καὶ μέγιστα αὐτῷ γέρα ἔδοσαν καὶ ζῶντι καὶ τελευτήσαντι.

Ἀλλὰ μὲν δὴ καὶ οὕς γ' ἡ φιλοσοφία ἀνέδειξε λογογράφους Δωριέων ὄντας καὶ Ἰώνων, κατὰ τοὺς αὐτοὺς χρόνους ἐκείνοις γεγονότες εἰκότως καὶ τῆς αὐτῆς ξυνηθείας ἀντείχοντο πρὸς λέξιν τε καὶ ξύνταξιν, οἷον Δωριέων μὲν Ἀρχύτας καὶ Φιλόλαος, Ἰώνων δὲ Ζήνων, Μέλισσος, Ἡράκλειτος, Ἀναξαγόρας, Δημόκριτος. Ἰάδες δέ τινες καὶ ὕστερον Μοῦσαι **) περὶ μυθολογίαν καὶ

---

*) Οὕτω καὶ Ἀνακρέων. Ἰβύκου δὲ τῆς λέξεως πέρι οὐκ ἄν τις ἔχοι κρῖναι. Διὰ τὴν αὐτὴν αἰτίαν Ἀλκμᾶνα ἐάσομεν εὕδειν, ποιητὴν Λακωνικόν. Ἰδίαν δέ τιν' ὁδὸν ἐτράποντο οἱ περὶ Βοιωτίαν ποιηταί, Κόριννα καὶ Πίνδαρος· οἵ γε πανηγυρικήν τινα ποίησιν μεταδιώκοντες καὶ τὰ περὶ λέξιν τε καὶ ξύνταξιν ἐπὶ πλεῖστον κινήσαντες, πολὺ μὲν τῆς Ὁμηρικῆς ἀπελείφθησαν ξυνηθείας, πολὺ δὲ καὶ τοῦ τρόπου τῶν ἐφ' αὐτῶν ὠλιγώρησαν· οὐ μὴν εἰκῆ γε, ἀλλὰ γνώμῃ καὶ τέχνῃ πλάττοντες πάντα τὰ τοιαῦτα φανήσονται.

**) Στράβ. 1, 18. 20.

ἀναζήτησιν τῶν παλαιῶν λογοποιοὺς παμπόλλους ἀποδεῖξασαι, οἷον Κάδμον, Διονύσιον τὸν Κυκλογράφον, Ἑκαταῖον, Ξάνθον, Χάρωνα, Φερεκύδην, Ἑλλάνικον*), πεζῇ μὲν ἄνευ μέτρου τὰ τῶν Κυκλικῶν ἐπεξῆλθον λόγῳ, τὸ δὲ τῆς λέξεως αὐτοῖς ἦν οὐκ ἀγεννῶς τοῦ ἐπικοῦ ἤθους ἐχόμενον. Ὥστ' ἐξ ἁπάντων τῶν εἰρημένων φανερὸν, ὅτι τὸ ἐπικὸν ἦθος οἷον δεσμὸς κεχώρηκε διὰ πάντων τῶν μέχρι τῆς Ἀττικῆς δραματουργίας ποιήσεως ἢ λογογραφίας ἁψαμένων.

Ἀλλὰ δὴ δημιουργούς γε τῆς Ἀττικῆς λέξεώς τε καὶ ξυντάξεως τοὺς δραματοποιοὺς δικαιότατ' ἂν προσείποιμεν, οὐχ ὡς αὐτοδιδάκτους γεγονότας καὶ μόνους ἐφ' ἑαυτῶν, ἀλλὰ τῶν καιρῶν αὐτοῖς τῶν τότε ἐναργῶς ξυναγωνισαμένων ἄξιοι ὄντες τοῦ προσρήματος τούτου ἐπεδείχθησαν. Τεκμήριον δὲ μέγιστον· ἡ γὰρ τούτων λέξις παράδειγμα πᾶσι γεγένηται τοῖς ὕστερον γράφειν προῃρημένοις. Παραλαβόντες γὰρ ἐκεῖνοι τὸ ἐπικὸν ὕφασμα τοῦ λόγου, λεῖον καὶ τὸ λεγόμενον εὐήτριον κατασκευάσαντες καὶ οἷον Ἀττικὰ ἄνθη ἐμπλέξαντες μετριότητός τε πέρι καὶ ἀστειότητος, ἀναλογίαν ἐν πᾶσιν ἀπειργάσαντο οἵαν καὶ εἰς εὐλόγους ἀνωμαλίας τὸ αὐτοφυὲς ἑκάστου εὐάγωγον παρασχεῖν. Καὶ πολλῶν μὲν ὄντων καὶ μεγάλων τῶν τραγῳδοποιῶν μέγιστοι δὴ καὶ ὀνομαστότατοι τρεῖς ἐγένοντο, Αἰσχύλος, Σοφοκλῆς, Εὐριπίδης. Οὐ μέντοι ἀλλὰ καὶ οἱ κωμῳδοποιοὶ, φυλάττοντες τὴν κοινὴν μᾶλλον ξυνήθειαν ἐν τοῖς λόγοις, κινδυνεύουσι τὴν Ἀττικὴν λέξιν ἀτεχνῶς ὥσπερ ζῶον ἀπεργάσασθαι ἐντελὲς πρὸς ἐνάργειαν καὶ κάλλος τῶν χρωμάτων, εἰς ὃ δὴ βλέποντες

---

*) Ἦσαν δὲ τούτων καὶ οἱ ἀνώνυμοι ξυγγραφῆς τῶν καλουμένων ὥρων (Ἀθήν. 2, 647.).

ὥσπερ εἰς παράδειγμα οἱ ὕστερον περὶ λογογραφίαν ἐπὶ πλεῖστα εἴδη ηὐδοκίμουν. Καὶ δὴ καὶ πρῶτος αὐτῶν καὶ εὐφυέστατος Ἀριστοφάνης γενόμενος κανὼν καὶ πάλαι τῆς Ἀττικῆς λέξεως ἐδοκιμάσθη εἶναι *).

Περὶ δὲ τούτους τοὺς καιροὺς Ἡρόδοτος ἀνεφάνη ὁ Ἁλικαρνασσεὺς, πατὴρ τῆς ἱστορίας καὶ ἀναζητήσεως τῶν παλαιῶν, ὃς ξυγγενόμενος Ἀθηναίοις τὰ πολλὰ, ἦρχε μὲν τῆς καταλογάδην γραφῆς, εὑρὼν δὲ ἔρημον τὴν χώραν ταύτην παρ᾽ ἐκείνοις, τῇ Ἰωνικῇ διαλέκτῳ προείλετο χρῆσθαι, τὰ μὲν ἐκ τῆς Ἰωνικῆς λογογραφίας ταμιευόμενος, τὰ δ᾽ ἐπὶ τὸ ἀττικώτερον κεραννύς. Δῆλον δὲ, ὅτι ἐντεῦθέν ποθεν εἰσῄει αὐτῷ ἡ περὶ τὴν ξύνταξιν ἀρετή· ᾗ δὴ ἄξιον θαυμάζειν καὶ τὸ τῆς ἐντέχνου ξυμπλοκῆς τῶν περιόδων, ὅπερ Ἡροδότου ὁ λόγος διαφερόντως ἔχει.

Μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον τῆς μὲν τραγῳδοποιΐας ὀλίγης ἤδη γενομένης, τῆς δὲ κωμῳδίας ἐπὶ τὰ ἐγκύκλια καὶ κοινὰ μᾶλλον ξυγκαθεισης, εἰκὸς τὸν πεζὸν λόγον ἐκνικῆσαι Ἀθηναίοις, οὐχ ὥσπερ ἐπὶ τῆς Ἰωνικῆς λογογραφίας γέμοντα ποιητικῶν σχημάτων, ἀλλ᾽ οἷόσπερ ἂν γένοιτο πόλει ἀκμαζούσῃ καὶ πρὸς πολιτικὰς καὶ ἠθικὰς σκέψεις μᾶλλον τετραμμένῃ. Ταύτης δὴ τῆς νεοχμώσεως αὐτοῖς ξυνεπελάβοντο ἐν τοῖς μάλιστα οἱ Σοφισταὶ, ὄντες, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, Πειθοῦς διδάσκαλοι, σοφίαν δημηγορικήν τε καὶ δικανικὴν διδόντες. Καὶ μέντοι καὶ τὸ τῆς λέξεως οὐχ ἥκιστα οὗτοι ἐπήσκουν· φαίνονται δὲ αὐτῶν καὶ πάλαι δύο τινὲς μάλιστα αἱρέσεις γενέσθαι. Καὶ τὸ μὲν Σικελικὸν ἔθνος, ἀπὸ Γοργίου ἀρξάμενον, ὡς καλλίστης οὔσης πασῶν τῶν

---

*) *Ἄξιοι μνησθῆναί εἰσι καὶ Κρατῖνος, Εὔπολις, Πλάτων, Στράττις, Ἕρμιππος, Τελεκλείδης, Φρύνιχος, Φερεκράτης, Θεόπομπος.*

τεχνῶν τῆς ῥητορικῆς εἰς διαπράξεις πολιτικὰς μεταδιωκομένης, οὕτω διεξέρχονται τοῖς λόγοις *), χρώμενοι πολλῇ μὲν τῇ ἀνθηρᾷ λέξει, πολλαῖς δὲ ἀηθείαις ὀνομάτων, καὶ τὰ μὲν σμικρὰ μεγάλα, τὰ δὲ μεγάλα σμικρὰ ποιοῦντες φαίνεσθαι διὰ ῥώμην λόγου, καινά τ' ἀρχαίως, τά τ' ἐναντία καινῶς, ξυντομίαν τε λόγων καὶ ἄπειρα μήκη περὶ πάντων ἀνευρον **). Οὐ μέντοι οἷόν τ' ἦν τῆς τοιαύτης ῥητορικῆς τὸ ἐκπληκτικὸν μὴ οὐχὶ φαῦλον δοκεῖν εἶναι Ἀθηναίοις· οἵ γε ἄριστοι ὄντες φύσει κρίνειν τὸ καλὸν καὶ μή, τὰ μὲν ἀπεδέξαντο τοῦ εὑρήματος, τὰ δὲ ἀπεδοκίμασαν, καὶ ὡς τέχνην ξυστησάμενοι ἠξίωσαν αὐτῶν εἰς τὴν πολιτικὴν χρείαν μετενεγκεῖν, ὅσα πρόσφορα αὐτῇ. Καὶ μὲν δὴ πρῶτος ὧν ἴσμεν τῶν τότε Ἀντιφῶν δοκεῖ ἐλλόγιμος ἐπὶ ταύτῃ γενέσθαι τῇ τέχνῃ· ἐπαγγειλάμενος γὰρ τὴν ῥητορικήν, εὐροίᾳ μὲν ἐχρῆτο λόγου ἱκανῶς, τὴν δὲ λέξιν οὕτως ἐδημιούργησεν, ὥστε παντὶ ἂν δῆλος εἴη τὰ μὲν σοφιστικὰ κατὰ δύναμιν διαφεύγων ἐκ τοῦ μεμελετηκέναι, γοργὸν δέ τι σχῆμα ἔργῳ μᾶλλον ἐπαινῶν. Καὶ τούτῳ δὴ τοιούτῳ ὄντι ἄλλοι τε πολλοὶ ξυνεγένοντο, καὶ δὴ καὶ Θουκυδίδης· ὅς γε Γοργίου μὲν τὰ εἰς περιόδων κατασκευὴν μιμησάμενος, τὸ δὲ περὶ τὴν λέξιν ἀκριβὲς παρὰ Προδίκου λαβών, πρῶτος Ἀθηναίων τῇ σοφιστικῇ τέχνῃ ἐπὶ ξύγγραμμα πολιτικὸν κατεχρήσατο, ξυγγράψας τὰ περὶ τοῦ Πελοποννησιακοῦ πολέμου. Βαθύνους γὰρ ὢν φύσει, μεγαλοπρεπὴς μὲν καὶ τῇ λέξει ἐφάνη, ἀνταλλάξας δὲ

*) Τούτων ἦσαν μὲν Ἀλκιδάμας, Πῶλος, Λικύμνιος, Θεόδωρος Βυζάντιος· προςέθεντο δὲ αὐτοῖς καὶ ποιηταί, οἷον Ἀγάθων, Εὔηνος.

**) Πλάτ. Κρατύλ. 407. δ'. 408. γ'. Συμπόσ. 198. γ'.

τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων τῇ δικαιώσει καὶ πολλῇ ξυντομίᾳ χρώμενος τοῦ λόγου, ἔτι δὲ νεοχμώσας καὶ τὰ περὶ τὴν θέσιν τῶν ὀνομάτων, πολὺ μὲν τὸ ὀξύνουν ἐπεδείξατο, χάριν δὲ καὶ σαφήνειαν οὐχ ὁμοίως φαίνεται ἐπιτηδεύσας, ὥστε ἰδία τις αὐτοῦ καὶ χαλεπὴ ἡ ξύνταξις ἂν εἴη.

Ἀλλὰ μὴν ὁμοίαν ὁδὸν πορευόμενος οὐχ ὁμοίαν δόξαν ἐκτήσατο Ἰσοκράτης, ὃς αὐτάρκη τὴν περὶ ῥητορικὴν ἰδίᾳ σπουδὴν ἡγησάμενος καὶ ταύτην φιλοσοφίαν ἐπονομάσας πλέον μὲν τῶν ἄλλων ἔργον ἐποιεῖτο τὴν φύσιν διακριβώσασθαι εὐρύθμου περιοδολογίας, ἀκράτῳ δὲ τῇ τοιαύτῃ σοφίᾳ ὁμιλῶν οὔτε τι ηὐδοκίμει εἰς τἆλλα, ὅ,τι καὶ ἄξιον λόγου, τό τε γνήσιον τῆς Ἀττικῆς λέξεως φαίνεται περὶ ἐλάττονος ἡγησάμενος ἢ ὡς κάλλιον αὐτῷ.

Καὶ ταῦτα μὲν δὴ ταῦτα περὶ τῶν Γοργίου Μουσῶν· αἱ δ' ἐλευθεριώτεραι αἱ Θρασυμάχου ξυνενόησαν, ὅτι τὴν μὲν παρασκευὴν ἐκείνην ἀσφαλέστερον χαλάσαι, λιτὴν δέ τινα καὶ ἀφελῆ λέξιν ἔφασαν δεῖν διώκειν, μετρίῳ μὲν ῥυθμῷ καὶ εὐκινήτῳ χρώμενον, τῆς δὲ διαλεκτικῆς ἱκανῶς προσφέροντα ἐν τοῖς λόγοις *). Ἐκ ταύτης τοίνυν τῆς παιδείας ὁρμώμενος Λυσίας, διά τε τὸ ἁπλοῦν τῆς ῥητορικῆς διεξόδου καὶ διὰ τὴν τῆς λέξεως ἀφέλειαν τοὺς μὲν πρότερον ῥαδίως ἅπαντας ἐνίκα, τοῖς δὲ ὕστερον γεγενημένοις οὐδεμίαν παρέλιπεν ὑπερβολήν· εἰκότως· οὗ γε δύο τινὲ ὥσπερ δαίμονε βασιλεύετον ἐν τοῖς λόγοις, Χάρις καὶ Πειθώ. Ἀλλὰ μὴν Ἰσαῖός γε καὶ

*) Περὶ Θρασυμάχου ἰδὲ Θεόφραστον, ἐν οἷς Διονύσιος λέγει περὶ Λυσίου (6), καὶ περὶ Δημοσθένους (3). Οἱ δ' ἐπὶ τούτου ἦσαν Ἱππίας ὁ Ἠλεῖος (Πλάτ. Ἱππ. Μείζ.), Πρόδικος ὁ Κεῖος (ἰδὲ Ἀξίοχον καὶ Ἐρυξίαν ἐν τοῖς Πλάτ.), Πρωταγόρας ὁ Ἀβδηρίτης (Πλάτ. Πρωταγ. καὶ Ἀριστοτ. ῥητορ. 3, 5.).

Ἀνδοκίδης οὐκ ὀλίγῳ τινὶ καταδεεστέραν τὴν δόξαν ἐκτησάσθην εἰς ῥητορικήν τε καὶ λεκτικὴν τέχνην· ἐπεὶ τοῦ μὲν ἴσως τήν τε λέξιν καλὴν ἂν πολλοὶ κρίνειαν καὶ τὴν ἄλλην κατασκευὴν, ἦθός τι ὑπεμφαίνουσαν ὅμοιον Δημοσθένει, οὐ μέντοι ἀλλὰ τῆς γε προσηκούσης καθαρότητος φανερός ἐστιν ἥττων γεγενημένος· τοῦ δὲ αὖ Ἀνδοκίδου οὐκ ἄν τις ῥαδίως πολλὰ ἔχοι εἰπεῖν εἰς ἔπαινον τῆς λέξεως οὐδὲ τῆς ἄλλης ἀρετῆς.

Κορυφαῖοι δ' εἰς λέξιν τε καὶ ξύνταξιν οἱ Σωκρατικοὶ ἐφάνησαν ὄντες, ὧν δὴ Κριτίας *) μὲν καὶ Ἀντισθένης καὶ Αἰσχίνης οὐ σαφεῖς τὰς ἀποδείξεις εἰλήφασιν ἀπολομένων τῶν γεγραμμένων αὐτοῖς. Ξενοφῶντος δ' ἔχοιμεν ἂν κρῖναι τὴν λέξιν ὁποία τις ἦν. Γράψας γὰρ πολλὰ καὶ παντοδαπὰ, εὐροίᾳ μὲν λόγου ἐχρῆτο πολλῇ, τέχνῃ δὲ ὀλίγῃ. Καὶ δὴ καὶ ἠμελημένως ἔχει αὐτῷ ἄττα· οὐ γὰρ περὶ ῥητορικὴν ἐσπουδάκει, ὅ,τι καὶ ἄξιον εἰπεῖν, ἀλλὰ πρὸς πολεμικῇ τὰ πολλὰ προῃρεῖτο διατρίβειν· ὥστε, εἰ καί τινα χάριν ἐνεῖδον αὐτοῦ τῇ λέξει οἱ παλαιοὶ, οὔτε κατὰ πάντων τῶν ξυγγραμμάτων ἐξέσται αὐτοῦ διϊσχυρίζεσθαι τὸ τοιοῦτον· — τὰ γὰρ ἀληθῆ χρὴ λέγειν· — ἐδόκει τε καὶ τὸ πάλαι τῆς περὶ τὴν λέξιν ἀκριβείας πέρα τοῦ προσήκοντος ὀλιγωρῆσαι. Πάντων γε μὴν τῶν τε Σωκρατικῶν καὶ δὴ καὶ τῶν ἄλλων τῶν Ἀττικῶν ξυγγραφέων πλεῖστον διήνεγκε Πλάτων, πολλαχῇ μὲν καὶ ἄλλῃ, οὐχ ἥκιστα δὲ πρὸς λέξιν τε καὶ ξύνταξιν. Γνώσει δὲ ἐκ τοιῶνδε τεκμαιρόμενος· θρέψασα γὰρ αὐτὸν μέγαν ἡ Σωκρατικὴ διάλεξις καὶ ποιήσασα ἐκ τῆς τῶν Σοφιστῶν πλάνης ξυννοήσαντα μανθάνειν, οἵαν χρὴ τέχνην λόγων κτησάμενον ὁμιλεῖν φιλοσοφίᾳ, κολοφῶνα ἀπέδειξε

*) Ἰδὲ Σίσυφον διάλογον ἐν τοῖς Πλάτωνος φερόμενον.

τῆς Ἀττικῆς λογογραφίας. Ἀναλαβὼν γὰρ τὴν Ἀττικὴν τοῦ λόγου ξυνήθειαν παραπλησίως Ἀριστοφάνει, καὶ ἐπιμίξας τῶν παροιμιῶν ἐκ τῶν Σώφρονος μίμων, τροπικῇ μὲν τὰ πολλὰ τῇ λέξει ἐχρῆτο, οὐ μέντοι ὑπερβαλλόντως γε· καὶ γὰρ καὶ τοῦτο κεκόμψευται αὐτῷ· ποιητὴς μὲν γὰρ ἐφάνη, ὅσον μὴ καταισχύνειν τοὺς ἐν φιλοσόφῳ Μούσῃ μεμαντευμένους λόγους, πεζογράφος δὲ, ὅσον μὴ ἐκβαίνειν τῆς προσηκούσης λέξεως καὶ σαφηνείας. Τοιγάρτοι διὰ ταῦτα καὶ μέγα μέρος ξυνεβάλετο εἰς τὴν λόγων τέχνην, οὐ μέντοι κατὰ τὴν ξύνταξιν μᾶλλον ἢ πρὸς ῥητορικήν. Διώκοντες γὰρ οἱ τότε τὸ ἁπλοῦν τῆς λέξεως καὶ τοῦτο ὅπου τύχοι ἀπομιμούμενοι, πολλὰ μὲν καὶ καλὰ ἀπετέλεσαν ἰδίᾳ τε καὶ δημοσίᾳ, οὐ μὴν ἀλλὰ τήν γε λέξιν γυμνὴν ποιήσαντες τῆς ποιητικῆς φύσεως αὐτῆς, οἷον ἀντίστροφον τὴν Ἀττικὴν γλῶσσαν ἀπέδειξαν τῆς ὅτ' ἤρξατο φυομένη. Τῶν μὲν οὖν ῥητορικῶν μᾶλλον ἢ ξυντακτικῶν γενομένων Δημοσθένης τε ἦν καὶ Αἰσχίνης, καὶ ὕστερον τούτων Λυκοῦργος καὶ Ὑπερίδης καὶ Δείναρχος καὶ Δημάδης. Καὶ μὴν κατὰ τὸν αὐτὸν λόγον καὶ ἡ περὶ τοὺς τότε χρόνους Κωμῳδία, μέσην τέμνουσα πολιτικῆς καὶ ἠθικῆς δραματουργίας, ἐπὶ τὰ κοινὰ μᾶλλον ἐτρέπετο. Οἱ μὲν γὰρ περὶ ταύτην διατρίβοντες ἐδίωκον μὲν σαφῆ λέξιν, ἠμέλουν δὲ, ἐκτὸς δή τινων ὀλίγων *), τῆς ποιητικῆς τὸ παράπαν· ὥστε καὶ ἡ ξύνταξις αὐτοῖς τά γε πολλὰ χειρόνως ἔχει. Ἡ δέ γε εἰς τοὺς ἔπειτα ξυντελοῦσα, ἡ νέα Κωμῳδία, ἧς ἔξαρχοι ἦσαν Μένανδρος, Φιλήμων, Δίφιλος, ἀποκλεισθεῖσα τῶν πολιτικῶν καὶ μόνον ἐπὶ τοῖς ἐγκυκλίοις καὶ τοῖς καθ' ἡμέραν γιγνομένοις οὖσα, ἀτεχνῶς

---

*) Τούτων ὀνομάζονται Ἄλεξις, Ἀντιφάνης, Εὔβουλος· ἴσως καὶ Ἀναξανδρίδης καὶ Τιμοκλῆς.

ἄφετος νεμομένη καὶ οὐδενὸς ὅτου οὐκ εἰκῇ γενομένη ξένου εἴτ' ἐπιχωρίου ἰδιώματος, ἀνανδρίας τε, ὡς τὸ εἰκὸς, ἀνάπλεως ἀνεφάνη καὶ τῆς πρὶν ξυντάξεως πάμπαν ἀπελείπετο.

Πρώτη μὲν δὴ καὶ κυριωτάτη οἷον ἡλικία καὶ περίοδος τῆς Ἀττικῆς ξυντάξεως αὕτη ἂν εἴη· ἧς δὴ τῷ ὅλῳ καὶ παντὶ διοίσει πεπειραμένος τε καὶ μή. Κινουμένων γὰρ ἐπ' Ἀλεξάνδρου τῶν πόλεων τῆς Ἑλλάδος καὶ ἀνομοιότητος ἐγγενομένης καὶ ἀνωμαλίας ἀναρμόστου, αἱ περὶ πολυϊστορίαν καὶ πολυγραφίαν Μοῦσαι ἐπεισκωμάσασαι ἄλλα τε πολλὰ ἐπὶ τὸ χεῖρον ἐμιμοῦντο, καὶ δὴ καὶ τὴν λέξιν τε καὶ ξύνταξιν ἔλαθον κατὰ μικρὸν ἀνατρέψασαι. Ἄρξας μὲν γὰρ τῆς περιόδου ταύτης Ἀριστοτέλης, πολλὰ μὲν καὶ καλὰ ἐγέννησεν εἰς ξυναγυρμὸν φρονήσεως, τῇ δὲ λέξει αὐτοῦ, ὡς τὸ εἰκὸς, οὐκ ἂν ἔχοιμεν, ὅ,τι μὴ ἐν παρόδῳ, χρῆσθαι πρὸς τὴν περὶ τῆς ξυντάξεως ἀπόδειξιν. Καὶ μὲν δὴ παραπλησίως Κράντωρ τε καὶ Θεόφραστος τὴν σοφίαν ἡγέτην· Δημήτριος δ' ὁ Φαληρεὺς ἀνθηρὸν μὲν λόγον ἐπασκήσας, τῆς δὲ γνησίας ῥητορικῆς παραμελῶν, δόξειεν ἂν ἡγεμὼν τῆς Ἀσιανῆς γενέσθαι ξυνηθείας, ἄνανδρόν τε ῥυθμὸν ἐχούσης καὶ ὄγκον τε καὶ ἀπειροκαλίαν πολλὴν ἐφελκομένης. Καὶ τοὺς μὲν τὰ Ἀλεξάνδρου ἐγκωμιάσαντας, οἷον Ὀνησίκριτον, Κλείταρχον, Ἀριστόβουλον, ἔτι δὲ τοὺς ἄλλους τοὺς τότε ἱστορικοὺς τε καὶ φιλοσόφους, ὧν δὴ Τίμαιος καὶ Πολύβιος καὶ Ἐπίκουρος καὶ Χρύσιππος, οὐκ οἶδ' ὅ,τι δεῖ καταλέγοντα μακρηγορεῖν. Οὔτε γὰρ εἰς τἄλλα ἐπεδείξαντο μεγάλην ῥώμην, οὔτ' εἰς τὴν λέξιν ηὐδοκίμησαν οὗτοι οἱ ξυγγραφῆς. Ἀλλὰ μὴν οὐδὲ τῶν Ἀλεξανδρέων ὄφελος ἡμῖν οὐδὲν ἦν πρὸς λέξιν τε καὶ ξύνταξιν. Πῶς γάρ; οἵ γε βιβλία

μὲν πολλὰ κεκτημένοι, τοῦ δὲ γεννᾶν καὶ ποιεῖν ἀπολειπόμενοι ξυνέθεσαν μὲν ὑπομνήματα περὶ τῶν παλαιῶν ποιητῶν, τὴν δὲ Ἀττικὴν ξύνταξιν οὔτ' ἔργῳ ἐδήλωσαν γιγνώσκοντες οὔτε τέχνῃ μετιόντες ἐδίδαξαν. Καὶ γὰρ οὖν δὴ καὶ τοὺς τότε ἐπιχειροῦντας ἐν ποιήσει μιμεῖσθαι τὰ τῶν παλαιῶν Ἑλλήνων οὔτε ἀξίους φαμὲν μιμητὰς γεγονέναι, ἄλλο τέ τι δεῖν ἢ ποιητὰς καλεῖν *).

Καὶ ταύτην μὲν δευτέραν θέντες τινὰ περίοδον τῆς λέξεώς τε καὶ ξυντάξεως οὐκ ἂν ἁμάρτοιμεν. Οὐ μὴν ἀλλ' ἀνωφελῆ γε κατὰ πολλὰ καὶ ταύτην θετέον ἡμῖν πρὸς τὴν γραμματικὴν μέθοδον, οὐχ ἧττον τῆς μελλούσης ῥηθήσεσθαι. Ῥωμαίων γὰρ τὰ πράγματα κατασχόντων, αἰσθανόμεθα καὶ τοὺς περὶ τὰ Ἑλληνικὰ γράμματα σπουδὴν ποιουμένους τῶν τότε τοῦ βαρβάρου σχήματος ἡττωμένους, οἷον Διονύσιον, Διόδωρον, Στράβωνα. Οὐ γὰρ ὅπως ἡ περὶ ῥυθμὸν τοῦ λόγου ἐπιμέλεια ἠφανίζετο καὶ ἡ κατ' ἄρθρα ξυμπλοκὴ τῶν περιόδων, ἀλλὰ καὶ ἀήθειά τις περὶ τὰ μόρια καὶ χρῆσις ἀλλόκοτος περὶ τὰς λέξεις ἐπεκράτει. Δῆλον δὲ ὧδε· οἱ μὲν γὰρ τότε σοφιστικήν τινα λέξιν διώκοντες ξυνέμιξαν τὰ ἑαυτῶν, οἷς ἐκλεξάμενοι παρὰ τῶν πρότερον γεγενημένων ᾤοντο δεῖν διαφέρειν. Τούτων δὴ οἱ μὲν ἐρωτικῆς λογογραφίας ἀρχηγοὶ ἐγένοντο, οἱ δὲ κομψότεροι τρεῖς ἦσαν, Δίων Χρυσόστομος, Πλούταρχος, Λουκιανός· ὧν Δίων μὲν, παράδοξα θηρεύων ἐν τοῖς λόγοις καὶ ἀτάκτῳ τῇ παιδείᾳ χρώμενος, πρῶτος τὴν ἀήθη εἰσηγήσατο τὴν σοφιστικὴν ῥητορικήν· ὁ δὲ Πλούταρχος, περὶ πολλὰ καὶ ποικίλα σπουδάσας, πλείστου μὲν

---

*) Οἷον Ἀπολλόδωρος ὁ Ῥόδιος, Νίκανδρος, Ἄρατος· Καλλίμαχον δὲ καὶ Θεόκριτον ἐξαιροῦμεν λόγου· οἳ δὴ ἔστιν ἃ ἐγγύς τι ἐποίουν τῆς τῶν παλαιτέρων ἀρετῆς.

ἂν ἄξιος εἴη τοῖς περὶ ἀναζήτησιν τῶν παλαιῶν, λέξει δὲ περιπεπλεγμένῃ μᾶλλον τοῦ δέοντος φαίνεται κεχρημένος· ὁ δέ γε Λουκιανὸς, τέχνῃ καὶ εὑρέσει οὐδενὸς δεύτερος ὢν τῶν ἐφ' ἑαυτοῦ, καὶ τὴν Ἀττικὴν λέξιν ἐμιμεῖτο τὰ πολλὰ ἐπιτυχῶς, παράδειγμα δὲ ὡς ἐν ἀποδείξεως μέρει οὐδεὶς ἂν αὐτὸν ῥᾳδίως νοῦν ἔχων τιθείη. Ἔστι δ' οὖν τὴν φύσιν τε καὶ ἐπιτήδευσιν τῶν περὶ ἐκείνους τοὺς χρόνους Σοφιστῶν ἄλλοθέν τε πολλαχόθεν μανθάνειν, ὁποία τις ἐγένετο *), καὶ δὴ καὶ οὐχ ἥκιστα τεκμαιρομένῳ ἔκ τε τῶν Ἡρώδου τοῦ Ἀττικοῦ ἐπιτηδευμάτων καὶ ἐκ τῶν Παυσανίου ξυγγραμμάτων. Τῇ γάρ τοι Παυσανίου λέξει πάντα παρεσκεύασται πρὸς τὸ ἐκπεσεῖν Ἀττικῆς φιλοκαλίας **). Θειασμῷ γάρ τινι προςκείμενος καὶ τοιαύτην τινὰ αἵρεσιν ἀσπαζόμενος, Ἡροδότου μὲν τὴν λέξιν καὶ τὸ ἦθος ἐβούλετο μιμεῖσθαι, ἀδυνατῶν δὲ κατορθῶσαι, εἰ οἷόν τ' εἰπεῖν, καὶ τὴν ἰδίαν αὑτοῦ ἔλαθε διαφθείρας. Οὐ μέντοι ἀλλὰ τοῖς γε ἀρχαιολόγοις πολλοῦ ἄξιος ἂν εἴη καὶ οὗτος ξυγγραφεύς. Τῶν δὲ κατὰ τούτους Δίων Κάσσιος μὲν ξυνέγραψε τὰ περὶ Ῥωμαίων, μετρίως μιμούμενος τοὺς παλαιοὺς καὶ παραδεχόμενος γνησίαν ἔσθ' ὅτε λέξιν· τοῖς δ' Αἰλιανοῖς ***), θαυμάσια οἷα βουλομένοις ἐπιδείξασθαι, ξυνέβη περιττοῖς μὲν τὴν λέξιν,

*) Ἐκ τῶν Φιλοστράτου βίων καὶ ἐκ βιβλίων τινῶν αὐτοῦ Λουκιανοῦ.

**) Παραπλησίως ἔχει ἥ τε Ἰωσήφου λέξις καὶ ἡ τῶν ὕστερον, Προκοπίου καὶ Ἀγαθίου, ἔτι δὲ ἡ τῶν Ἰωνιζόντων, Ἀρεταίου, Κεφαλίωνος, Ἀῤῥιανοῦ.

***) Τὰ γὰρ Αἰλιανοῦ φερόμενα ξυγγράμματα οὐ τοῦ αὐτοῦ τυγχάνει ὄντα, ἀλλὰ δύο τινὰς ὁμωνύμους θετέον τοὺς αὐτὰ ξυγγράψαντας, καθάπερ Ἰ. Βόσσιος τεκμηρίοις μεγίστοις ἐπέδειξεν.

περιττοῖς δὲ τὴν ξύνταξιν γενέσθαι *). Καὶ μὲν δὴ καὶ μετὰ ταῦτα ἔτι εὑρίσκομέν τινας τῶν μὲν ἄλλων ἀφεμένους, πρὸς δὲ δουλικήν τινα τῶν παλαιῶν μίμησιν τραπομένους, κακῶς εἰδότας, ὅτι χαλεπὸν ὀνόμασι Πλατωνικοῖς ἄξιόν τι ἀπεργάσασθαι ἀναγνωρίσεως. Τούτων δὴ ἐξαρκέσει ὀνομάσαι Λιβάνιον, Θεμίστιον, Συνέσιον, Ἰουλιανὸν, κρείττους ὄντας, εἴπερ οἷόν τε τοῦτ' εἰπεῖν, Μαξίμου Τυρίου, Ἱμερίου, Εὐναπίου· οἷς δή τινες καὶ ὕστερον πειθόμενοι τῶν Βυζαντίων, ὡς τὸ εἰκὸς, οὐδὲν μέγα διαπραξάμενοι ἐφάνησαν.

Ἐκ δὴ πάντων τῶν εἰρημένων ῥάδιον γνῶναι τὰ τῶν δευτέραν τε καὶ τρίτην ἀπόστασιν ἀφεστηκότων ξυγγραφέων, τίν' ἔχει μοῖραν βλάβης τε καὶ ὠφελείας τοῖς μέλλουσι χρῆσθαι. Οὐ γὰρ οὐδὲ τῆς ἡμετέρας μεθόδου μᾶλλόν τι ἕνεκα ταῦτα προειλόμεθα λέγοντες διατρίβειν, ἢ τοῦ μή τινα ζητῆσαί ποτε, δι' ἥντιν' αἰτίαν, ξυντιθέντες τὰ περὶ τῆς Ἀττικῆς ξυντάξεως, τοῖς μὲν ἐκ τῆς

*) Τὰ τοιαῦτα σπεύδοντες ἐπιτηδεύματα ἐφάνησαν τοῖς τότε καὶ διδάσκαλοι, τῆς μὲν ῥητορικῆς Ἑρμογένης καὶ Λογγῖνος, τῆς δὲ γραμματικῆς Πολυδεύκης τε καὶ ἄλλοι πολλοὶ, ἄξιοι λόγου ὄντες καὶ διὰ τὸ ἀνακινῆσαι τὴν περὶ τὴν λέξιν ἐπιμέλειαν, μαχόμενοι καὶ ἀντιτείνοντες τοῖς ἐφ' ἑαυτῶν πρὸς τὰ χείρω τρεπομένοις· ᾗ δὴ καὶ πλεῖστον ξυνεβάλετο Ἀπολλώνιος ὁ Δύσκολος ἐπικαλούμενος καὶ Ἡρωδιανός· ὁ μὲν γὰρ Ἀπολλώνιος φιλόσοφος ὢν φύσει τοσοῦτον φῶς ἐπορίσατο τῇ γραμματικῇ, ὅσον οὐδεὶς οὔτε τῶν πρότερον οὔτε τῶν ὕστερον γενομένων· καὶ οὗτος μὲν μάλιστα τὸ ξυντακτικὸν ἐπηνωρθοῦτο· ὁ δὲ Ἡρωδιανὸς περὶ τὸ τεχνολογικὸν πλείστην ἐπιμέλειαν ἐποιήσατο. Ἄξιον ὀνομάσαι καὶ τοὺς Ἀττικιστὰς καλουμένους, ὧν εἷς καὶ Φρύνιχος, ὃς τὰ περὶ γνησίων λέξεων ξυγγράφων φανερός ἐστιν οὐ μόνον πολλῇ παιδείᾳ χρησάμενος, ἀλλὰ καὶ πρὸς τὸ κρίνειν τό τε καλὸν καὶ μὴ ἄριστα γεγυμνασμένος, εἰ καὶ πού τις εὑρήσει αὐτὸν ὥσπερ τοξότην παραλλάξαντα τοῦ σκοποῦ καὶ ἁμαρτόντα.

πρώτης περιόδου παραδείγμασιν ἐχρησάμεθα, τῶν δὲ ἄλλων τῶν ὕστερον γενομένων ξυγγραφέων, ὅ,τι μὴ πᾶσα ἀνάγκη, οὐδενὸς ἠξιώσαμεν ἐπιμνησθῆναι.

Ὅτι μὲν τοίνυν τὴν Ἀττικὴν διάλεκτον ὥσπερ δεσπόζουσαν τῶν ἄλλων ἐν τοῖς πρώτοις θετέον τῆς τοιαύτης γραμματικῆς, φανερὸν ἐκ τῶν προειρημένων *). Τί δὲ τὸ μετὰ τοῦτο; ἢ δῆλα δὴ, ὅτι τὰς ἄλλας διαλέκτους σκεπτέον ἂν εἴη, τίνα τρόπον ἔχουσι. Τοιγάρτοι ἡμεῖς περὶ Ἰωνικῆς τε καὶ Δωρικῆς διαλέκτου ἰδίαν χωρὶς περὶ ἑκατέρας κατασκευάσαντες γραμματικὴν ῥᾴω τε τῇ ξυνόψει τὴν μέθοδον πεποιήκαμεν καὶ οὐκ ἂν πάνυ τι δόξαιμεν ἀνόμοια ἡμῖν αὐτοῖς νομοθετῆσαι. Ἀλλὰ μὲν δὴ καὶ τὰς παλαιὰς ἐπιγραφὰς πρὸς τὸ τέλος προσήψαμεν, οὔτι ἀποδείξεως τῶν ἐν τοῖς κεφαλαίοις διδασκομένων ἐπὶ πλέον τι ἕνεκα, ἀλλ᾽ ἡγησάμενοι, εἰ τοιαῦται καὶ τηλικαῦται φῆμαι τῶν προγόνων ὑμνήσουσιν εὐθὺς περὶ τὰ τῶν νέων ὦτα, τά τε ἄλλα ῥᾴω αὐτοῖς καὶ ἡδίω ἔσεσθαι τῶν τοιούτων τὴν μάθησιν, καὶ δὴ καὶ πρὸς τὰ τῆς ἀρχαιολογίας μᾶλλόν τι ἂν αὐτῶν τὰς ψυχὰς ζωπυρηθῆναι. Οὐ γὰρ ἀλλὰ χρὴ τοὺς νέους, εὐθὺς ὅτι μάλιστα ἐθίζειν ἀκούειν τε καὶ θεᾶσθαι τὰ τῶν προγόνων ἔργα μανθάνοντας, ὅπως ἂν ἐφάμιλλοι γένωνται αὐτοῖς, οὕτω γνώμης ἔχοντες, ὡς οὐχ ὑπαρχόντων τῶν τοιούτων, ἵνα θαυμάζωσι μόνον θεωροῦντες, ἀλλ᾽ ἵνα καὶ μιμῶνται τὰς τῶν ἀναθέντων ἀρετάς. Προς-

---

*) Οὐ μὴν ἀλλὰ τὴν ξυντακτικὴν γένεσιν σκοποῦντες αὐτῆς, καὶ τὰς πρὸς τὴν ἀρχηγὸν τοῦ Ὁμήρου Μοῦσαν ὁμοιότητας ᾠήθημεν δεῖν διὰ βραχέων διδάξαι, χωρὶς προςπαραγραψάμενοι πάντα τὰ τοιαῦτα, ἵνα δὴ μή τιν᾽ ἐκπλήξῃ ἡ ἀήθεια τῶν ξένων σχηματισμῶν, εἰθισμένον εἰς Ἀττικοὺς τύπους ἀποβλέπειν.

ἧκον δὴ τοῦτ᾽ ἂν εἴη νομοθετῆσαι καὶ πείθειν τοὺς μέλλοντας εὖ ἕξειν ἐπιστήμης, μαθόντας τὰ γραμματικὰ ἐπὶ τὴν τῶν παλαιῶν ἀνάγνωσιν ἰέναι μὴ ἰδιωτικῶς, ἀλλ᾽ ἕως ἂν ἐπὶ θέαν τοῦ κάλλους ἀφίκωνται τῆς Ἑλληνικῆς διανοίας· ἔπειτα πᾶν ποιεῖν ξυντεινομένους, ὅπως ἂν καὶ μιμῶνται αὐτὰ πλάττοντες καὶ γράφοντες. Τοῦτο δὲ ποιοῦντας, μὴ οἴεσθαι ἐπὶ τέλει ἤδη εἶναι τῆς τῶν παλαιῶν μιμήσεως, ἀλλὰ δεῖν τὸ κάλλος ὧν ἂν μάθωσιν ἐν τοῖς γράμμασι, καὶ ἐν τῇ πλαστικῇ αὐτῶν καὶ ὅλως ἐν ταῖς ἄλλαις τέχναις τε καὶ ἐπιστήμαις ἐπισκοπεῖν. Οὐ γὰρ ἀλλὰ τὰ τοιαῦτα τῶν μαθημάτων οἷον ἐπιβάσεις τε καὶ ὁρμὰς ποιούμενοι, εἴ τις καλῶς ἡγοῖτο, ἐπίδοξοι ἂν εἶεν καὶ τῶν μεγίστων ἄθλων ἐφικέσθαι, Ἑλληνικῆς παιδείας τε καὶ ἀρετῆς. Καὶ γάρ τοι οὕτω τραφέντες καὶ παιδευθέντες, ἄν ποτέ τις αὐτοῖς ἀνάγκη παραβάλῃ, ἃ ἐκεῖ ἔμαθον, μελετῆσαι εἰς τὰ τῶν πολιτῶν ἤθη ἰδίᾳ τε καὶ δημοσίᾳ τιθέναι, τά τ᾽ ἄλλα, οἶμαι, ἄριστ᾽ ἂν πολιτεύοιντο, καὶ δὴ καὶ δημιουργοὶ ἂν ἐπιτηδειότατοι φανεῖεν σωφροσύνης τε καὶ ξυμπάσης τῆς δημοτικῆς ἀρετῆς. Ἀλλὰ μὲν δὴ κατ᾽ ἐκείνην τὴν ὁρμὴν ἰοῦσιν, ἥνπερ νῦν δὴ ἔφαμεν δεῖν ἰέναι, καὶ ἡ γλῶσσα αὐτοῖς ἂν ῥᾷον ἀναλάβοι· — περιαιρεθεῖσα γὰρ τὸ πρὶν κάλλος ὑπὸ τῶν πολλῶν αἰώνων, οὕτως ἤδη μετεῤῥύθμισται, ὥστε μηδὲ γλῶσσα εἶναι· — ἅμα τε τὰς ψυχὰς τὰς τῶν Ἑλλήνων, εὐφυεστέρας οὔσας καὶ καρτερικὰς ἐφ᾽ ὅ τι ἂν ὁρμήσωσιν, εἰκὸς, ἡγεμόνων τυχούσας οἵων δεῖ, τάχιστ᾽ ἂν ἐπιδοῦναι εἰς τὸ μιμητικωτέρας αὐτὰς αὐτῶν γίγνεσθαι. Προσήκουσα μὲν δὴ τροφὴ τοῖς Ἕλλησιν ἂν εἴη, οἵα ποιεῖν αὐτοὺς ἔργῳ τε καὶ λόγῳ τοῖς προγόνοις ἀφομοιωθῆναι. Ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν ἐν ἑτέροις καιροῖς δηλώσομεν,

τὴν δὲ γραμματικὴν νῦν τήνδε ἐξενηνόχαμεν δεῖγμα εἶναι τοῖς Ἕλλησι τῆς ἡμετέρας πρὸς αὐτοὺς φιλίας· ὥστ', ἐὰν δόξωμεν κεχαρισμένα αὐτοῖς τε καὶ τῷ Βασιλεῖ πεποιηκέναι, ἐξαρκέσει ἡμῖν.

Ἀκούω δὲ πειράσεσθαί τινας λέγειν, ὡς τὰ μὲν ἄλλα μετρίως ἔχει τέχνης τε καὶ ἀκριβείας, τὰ δὲ ἄχρηστον ὂν φαίνεται· οὐ γὰρ πρὸς τὰς χρείας, φασὶν, πεποίηται τὰς ἡμετέρας. Εἰ μὲν οὖν μὴ ξυνῄδειν τισὶ τῶν τὰ τοιαῦτα φασκόντων ἐπιτηδεύειν εὖ μάλα φρονήματος μεστοῖς οὖσι καὶ ἀτεχνῶς οὐδὲν ὅ,τι οὐχὶ ἀκριβέστερον ὁτουοῦν οἰομένοις ἐπίστασθαι, οὐδ' ἂν ἠξίουν ἔγωγε τοῖς ταῦτα λέγουσι πιστεύειν. Νῦν δὲ προσδεχομένῳ ταῦτά τέ μοι γεγένηται τὰ παρ' ἐκείνων, καὶ εἴ τι ἄλλο ξυμβήσεται, οὐκ ἂν θαυμάσαιμι· οἵ γε οὐκ αἰσχύνονται, ᾗ ἀνεπίληπτοί εἰσιν οἱ λόγοι οὐχ ἥκιστα, ταύτῃ ἐπιχειροῦντες αὐτοὺς διαβάλλειν. Καὶ τοίνυν ἡγουμένοις δεῖν τὸν πλημμελοῦντα ἐμμελῆ ποιεῖν μᾶλλον ἂν ἁρμόττοι ὡς πρὸς φίλον ἐσόμενον τὸν διαβάλλοντα οὕτω ποιεῖσθαι τοὺς λόγους. Ἡ οὖν ἀπόδειξις ἡμῖν ἔσται τοιάδε·

Δοκεῖ γάρ μοι γραμματικοῦ ἔργον εἶναι πρῶτον μὲν τῆς γλώσσης, ἧς ἂν ἐπιχειρῇ διδάσκειν, ἐμπείρως ἔχειν τε καὶ ἐπίστασθαι οὕτως, ὥστε καὶ τὴν φύσιν αὐτῆς, ἥτις ἐστὶν, φαίνεσθαι τέχνῃ λαβόντα. Ὧι γὰρ ἀρχὴ μὲν, ὃ μὴ οἶδε, τελευτὴ δ', ἐξ οὗ μὴ οἶδε, ξυμπέπλεκται, τίς μηχανὴ τὴν τοιαύτην ὁμολογίαν ποτὲ ἐπιστήμην γενέσθαι; Ἔπειτα γράφειν ἐπιχειροῦντα γραμματικὴν περὶ ἀρετῆς ἑκάστου καὶ σκεύους καὶ σώματος καὶ ψυχῆς, ἥτις ποτ' ἐστὶν, ἐπισκοπεῖν· εἴη δ' ἂν ἀρετὴ ἑκάστου τὸ τάξεως καὶ ὀρθότητος καὶ τέχνης μετέχειν.

Τάξει ἄρα καὶ ὀρθότητι καὶ τέχνῃ ὁτιοῦν κεκοσμημένον ἱκανῶς κεκοσμήσεται. Ταῦτα δὴ τῇ διανοίᾳ λαβόντα καὶ ἐπιχειροῦντα ἔργῳ ἀποδεῖξαι μεμνῆσθαι χρὴ, ὅτι τὸ πᾶν διὰ λόγων τε γίγνεται καὶ πρὸς νεους· ὥστε πᾶσα ἀνάγκη αὐτῷ καὶ τούτων τὴν ἐπιμέλειαν ποιεῖσθαι, τῶν μὲν, ὅπως ἂν μὴ ἀσαφεῖς ὦσι, τῶν δὲ, ὅπως ἂν ῥαδίως μάθωσι τὰ λεγόμενα. Περίεργον μέντοι καὶ νομοθετῆσαι ταῦτα σαφηνείας πέρι, ἄλλως τε καὶ ἁψαμένῳ τῶν Ἑλληνικῶν Μουσῶν· καὶ γάρ τοι ἐν τῷ τέχνῃ λαβεῖν τὴν δύναμιν ὁτουοῦν τὸ σαφὲς καὶ τὸ αὐτὸ αὐτῷ ὁμολογούμενον ὥρισται. Καίτοι οὕτω γ' ἔχουσαν γραμματικὴν, τάξει τε καὶ ὀρθότητι καὶ τέχνῃ κεκοσμημένην, τίς μηχανὴ μὴ οὐ καλῶς ἔχειν; ἀλλὰ μὴν πᾶν τὸ καλὸν ἐν τοῖς τοιοῖςδε χρήσιμον, οὐ τοῖς μὲν, τοῖς δὲ οὔ, ἀλλὰ πᾶσι τοῖς τοῦ αὐτοῦ εἴδους δεομένοις μεταλαμβάνειν. Καὶ γραμματικὴ ἄρα καλῶς ἔχουσα χρησίμη ἂν φανείη οὖσα, οὐ τοῖς μὲν, τοῖς δὲ οὔ, ἀλλὰ πᾶσι τοῖς μέλλουσι γραμματικοῖς ἔσεσθαι.

Ἴσως δὲ οἱ ἐκεῖνα λέγοντες ταῦτα μὲν ὁμολογήσουσι, τῶν δὲ νῦν Ἑλλήνων τῆς παιδείας ἀνθάπτονται, ὡς οὐκ ἂν δυναμένης χρῆσθαι τοῖς τοιούτοις βιβλίοις. Παγγέλοιον οὖν δοκοῦσιν ἡμῖν πεπονθέναι, εἰ αὐτοὶ μὲν κρίνειν ἐπιχειροῦντες περὶ τῶν τοιούτων οἴονται λανθάνειν, οἵτινες τυγχάνουσιν ὄντες, τοὺς δὲ ὁμοτέχνους αὐτοῖς οὐδὲν εἰδότας ἀποφαίνουσιν. Πῶς γὰρ εἰδότας; οἵ γε οὔτε αὐτούς φασιν εἶναι ἐπιεικεῖς, οὔτε τοὺς ἄλλους δυνατοὺς ποιεῖν, τοσαύτης ἀμαθίας ὄντας ἔμπλεως, ὥστε μηδ' ὀλίγων βιβλίων ὑπαρχόντων τὴν ἐκλογὴν οἵους τε εἶναι ποιήσασθαι. Ἀλλα γὰρ οὔτε ἑαυτοῖς οὔτε ἀλλήλοις ὁμο-

λογοῦσι, καὶ ἀτελῆ τοῦ ψόγου δρέποντες καρπὸν, κινδυνεύουσιν οὐδὲν εἰδέναι ὧν λέγουσιν· ἀλλ' ἐλπίζειν χρὴ, ὡς θεός τις εὐμενέστερος ἂν αὐτοῖς εἰς τὸ λοιπὸν φανείη κρίνουσί τε περὶ τῶν Ἑλληνικῶν Μουσῶν καὶ ξυλλαμβάνουσι τῶν ὁμοίων ἡμῖν ἐπιτηδευμάτων.

ΜΕΡΟΣ ΤΕΧΝΟΛΟΓΙΚΟΝ.

ΜΕΡΟΣ ΤΕΧΝΟΛΟΓΙΚΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΠΕΡΙ ΓΡΑΜΜΑΤΩΝ.

§. 1.

Γράμματα εἶναι εἴκοσι τέσσαρα, ὡς ἐφεξῆς·

Α —	*α*	*ἄλφα*
Β —	*β, ϐ* . . .	*βῆτα*
Γ —	*γ*	*γάμμα*
Δ —	*δ*	*δέλτα*
Ε —	*ε*	*ἒ ψιλόν. γράφ. εἶ*
Ζ —	*ζ*	*ζῆτα*
Η —	*η*	*ἦτα*
Θ —	*ϑ, θ* . . .	*ϑῆτα*
Ι —	*ι*	*ἰῶτα*
Κ —	*κ*	*κάππα*
Λ —	*λ*	*λάμβδα*
Μ —	*μ*	*μῦ*
Ν —	*ν*	*νῦ*
Ξ —	*ξ*	*ξῖ*
Ο —	*ο*	*ὂ μικρόν. γράφ. οὖ*
Π —	*π, ϖ* . . .	*πῖ*
Ρ —	*ρ, ϱ* . . .	*ῥῶ*
Σ —	*σ, ς* . . .	*σίγμα*
Τ —	*τ, ⁊* . . .	*ταῦ*
Υ —	*υ*	*ὖ ψιλόν*
Φ —	*φ, ɸ* . . .	*φῖ*
Χ —	*χ*	*χῖ*
Ψ —	*ψ*	*ψῖ*
Ω —	*ω*	*ὦ μέγα.*

ΣΗΜ. α΄. Τὰ διπλῶς γραφόμενα μεσαῖα γράμματα εἶναι ἀδιαφόρως εἰς χρῆσιν, πλὴν τοῦ σ, ς — τούτων δὲ τὸ μὲν σ τίθεται εἰς τὴν ἀρχὴν καὶ εἰς τὸ μέσον τῆς λέξεως, τὸ δὲ ς εἰς τὸ τέλος.

ΣΗΜ. β΄. Ὅτι καὶ πῶς οἱ Ἕλληνες μεταχειρίζονται τὰ στοιχεῖα τοῦ ἀλφαβήτου καὶ ἀντὶ χαρακτήρων ἀριθμητικῶν, περὶ τούτου θέλομεν εἰπεῖν ὑπὸ τὰ ἀριθμητικά.

ΣΧΟΛ. Τὸ παλαιὸν οἱ Ἕλληνες εἶχον μόνον τὰ ἐφεξῆς γράμματα, ὄντα δεκαὲξ τὸν ἀριθμόν Α Β Γ Δ Ε Ι Κ Λ Μ Ν Ο Π Ρ Σ Τ Υ, τὰ ὁποῖα, ὡς εἶναι φήμη, ὁ Κάδμος ἐκ τῆς Φοινίκης μετέφερεν εἰς τὴν Ἑλλάδα, ὀνομαζόμενα δι' αὐτὸ τοῦτο ΚΑΔΜΗΙΑ, ΦΟΙΝΙΚΗΙΑ, ΦΟΙΝΙΚΙΑ. Τὰ δὲ λοιπὰ Θ Ξ Φ Χ καὶ Η Ω Ζ Ψ ἐξευρέθησαν κατὰ τὸν ἕκτον καὶ ἕβδομον αἰῶνα πρὸ Χριστοῦ ὑπὸ τοῦ Κείου Σιμωνίδου καὶ τοῦ Σικελιώτου Ἐπιχάρμου. Ἐδέχθησαν δὲ τὰ εἴκοσι τέσσαρα γράμματα πρῶτοι οἱ Ἴωνες (καὶ τούτων πρῶτοι οἱ Σάμιοι), παρ' ὧν παραλαβόντες αὐτὰ οἱ Ἀθηναῖοι ὄντες καὶ αὐτοὶ Ἴωνες μετεχειρίσθησαν πρῶτον μετὰ τὸν Πελοποννησιακὸν πόλεμον εἰς πολιτικὰ ψηφίσματα τὸ β΄ ἔτος τῇ ϟδ΄ Ὀλυμπιάδος (403 πρ. Χρ.) ἐπὶ ἄρχοντος Εὐκλείδου. Καὶ πρότερον ἀντὶ μὲν Θ Φ Χ ἔγραφον ΤΗ, ΠΗ, ΚΗ, τοῦ Η το δασὺ πνεῦμα σημαίνοντος, ἀντὶ δὲ Ζ ἔγραφον ΣΔ, ἀντὶ δὲ Ξ — ΚΣ ἢ ΧΣ ἢ ΓΣ, ἀντὶ δὲ Ψ ἢ ΒΣ ἢ ΠΣ. Ἔτι δὲ ἀντὶ τοῦ Η εἶχον Ε ἢ ΕΙ ἢ ΕΕ (οἷον δέελος ἀντὶ δῆλος, Ὁμ. Ἰλιάδ. Κ΄. 466.) καὶ Ο ἀντὶ τοῦ Ω. Τὸν δὲ ἀρχαῖον τρόπον τῆς γραφῆς ἐφύλαττον ὡς ἐπὶ τὸ πολὺ καὶ ἔπειτα οἱ Αἰολεῖς.

---

§. 2.

ΔΙΑΙΡΕΣΙΣ ΤΩΝ ΓΡΑΜΜΑΤΩΝ.

Α'. Ταῦτα τὰ εἴκοσι τέσσαρα γράμματα διαιροῦνται εἰς ἑπτὰ φωνήεντα

Α Ε Η Ι Ο Υ Ω

οὕτως ὀνομαζόμενα, διότι καθ' ἑαυτὰ ἀποτελοῦσι φωνὴν, καὶ εἰς δεκαεπτὰ σύμφωνα

Β Γ Δ Ζ Θ Κ Λ Μ Ν Ξ Π Ρ Σ Τ Φ Χ Ψ

λαβόντα τὴν ὀνομασίαν ταύτην, διότι συζευχθέντα μετὰ φωνηέντων ἀποτελοῦσι φωνὴν, καθ' ἑαυτὰ δὲ οὐχί.

ΦΩΝΗΕΝΤΑ.

Β'. Καὶ τὰ μὲν φωνήεντα διαιροῦνται
εἰς βραχέα . . . . Ε Ο
εἰς μακρὰ . . . . . Η Ω
εἰς μεταβολικὰ . . Α Ι Υ.

ΔΙΦΘΟΓΓΟΙ.

Γ'. Ὅταν δύο φωνήεντα οὕτως ἑνωθῶσιν, ὥστε προφερόμενα νὰ ἀποτελῶσι μίαν φωνὴν, γίνεται ἡ λεγομένη δίφθογγος. Τῶν δὲ διφθόγγων αἱ μὲν ἔχουσι καὶ τὰ φωνήεντα βραχέα, καὶ ὀνομάζονται κύριαι, ὡς

αι, αυ, ευ, ει, οι, ου,

ἄλλαι δὲ τὸ πρῶτον φωνῆεν ἔχουσι μακρὸν καὶ καλοῦνται καταχρηστικαί, ὡς

ηυ, ωυ), υι, ᾳ, ῃ, ῳ.*

Τῶν δὲ τριῶν τελευταίων τούτων διφθόγγων τὸ ὑπογεγραμμένον ι κατ' ἀρχὰς καὶ αὐτὸ ἠκούετο ἀναμφιβόλως. Τεκμήριον δὲ τούτου εἶναι, ὅτι οἱ παλαιοὶ, μεταχειριζόμενοι τὰ κεφαλαῖα γράμματα, τὸ ἔγραφον κατὰ τάξιν ὡς στοιχεῖον, οἷον ΤΩΙ ΛΗΙΣΤΗΙ, τῷ ληστῇ.

ΣΥΜΦΩΝΑ.

Δ'. Τῶν δὲ συμφώνων 1) *κατὰ μὲν τὴν προφορὰν ἡμίφωνα εἶναι ὀκτὼ, ὡς*

Ζ Ξ Ψ Λ Μ Ν Ρ Σ,

ἄφωνα δὲ ἐννέα

Β Γ Δ Κ Π Τ Θ Φ Χ,

καὶ ὑποδιαιροῦνται τὰ μὲν ἡμίφωνα εἰς τρία διπλᾶ

Ζ Ξ Ψ,

---

*) *Εἶναι αὕτη τῆς Ἰωνικῆς διαλέκτου.*

τέσσαρα ὑγρὰ ἢ ἀμετάβολα

Λ Μ Ν Ρ,

καὶ εἰς τὸ μοναδικὸν Σ, ὃ εἶναι (κατὰ Πλάτωνα Θεαιτ. **202.**) *ψόφος τις μόνον, οἷον συριττούσης τῆς γλώσσης,*

τὰ δὲ ἄφωνα

εἰς τρία ψιλὰ Κ Τ Π
εἰς τρία μέσα Γ Δ Β
εἰς τρία δασέα Χ Θ Φ.

ΣΗΜ. Ἡμίφωνα ὀνομάζονται, διὸ καὶ χωρὶς φωνήεντος προφέρονται εὐκολώτερον παρὰ τὰ λοιπὰ, τὰ καλούμενα δι' αὐτὸ τοῦτο ἄφωνα. Καὶ τὰ μὲν ἀμετάβολα (ὑγρὰ) ἔλαβον τὴν ὀνομασίαν ταύτην, διότι εἰς τὰς κλίσεις δὲν μεταβάλλονται, ὡς τὰ ἄφωνα, τὰ δὲ διπλᾶ, διότι ἐκ δύο σύγκειν-ται ἕκαστον γραμμάτων, τὸ μὲν Ζ ἐκ Σ καὶ Δ, τὸ δὲ Ξ ἐκ Κ καὶ Σ, τὸ δὲ Ψ ἐκ Π καὶ Σ. Τῶν δὲ ἀφώνων τὰ μὲν ψιλὰ ὠνομάσθησαν οὕτω, διότι προφέρονται μετὰ λεπτῆς καὶ ὁμαλῆς φωνῆς, τὰ δὲ δασέα διὰ τὸ ἐναντίον, τὰ δὲ μέσα, ὅτι κατὰ τὴν προφορὰν ἴσον ἀπέχουσι τῶν τε ψιλῶν καὶ τῶν δασέων.

2) *Κατὰ δὲ τὰ ὄργανα, δι' ὧν προφέρονται, διαιροῦνται εἰς τὰ διὰ τῶν χειλέων προφερόμενα*

Β Μ Π Φ Ψ,

εἰς τὰ διὰ τῆς γλώσσης

Δ Ζ Θ Λ Ν Ρ Σ Τ,

εἰς τα διὰ τοῦ οὐρανίσκου

Γ Κ Ξ Χ,

Κατὰ τὴν διπλῆν διαίρεσιν ταύτην τὰ ἄφωνα οὕτω τεθέντα

	1.	2.	3.
1. *ΨΙΛΑ. . .*	*Π*	*Κ*	*Τ*
2. *ΜΕΣΑ . .*	*Β*	*Γ*	*Δ*
3. *ΔΑΣΕΑ. .*	*Φ*	*Χ*	*Θ*

παριστάνουσι κατ' ἀμφοτέρας τὰς θέσεις τὴν πρὸς ἄλληλα συγγένειαν αὐτῶν.

§. 3.

ΠΑΘΗ ΤΩΝ ΣΥΜΦΩΝΩΝ.

α΄) Ὅταν συνδράμωσι δύο ἄφωνα διαφόρων ὀργάνων, πρέπει πρὸ ψιλοῦ νὰ τεθῇ ψιλὸν, πρὸ δασέος δασὺ, καὶ πρὸ μέσου μέσον, οἷον·

ΦΘΟΝΟΣ,	ΕΧΘΟΣ
ΕΒΔΟΜΟΣ	ΟΓΔΟΟΣ
ΕΠΤΑ	ΟΚΤΩ.

Μόνη ἡ ἐκ πρόθεσις μένει πρὸ πάντων τῶν συμφώνων ἄτρεπτος, οἷον ἐκθεῖναι, ἐκδοῦναι.

β΄) Οὐδέποτε εὑρίσκονται παράλληλα δύο δασέα τοῦ αὐτοῦ εἴδους, ἀλλὰ τὸ πρῶτον τότε τρέπεται εἰς τὸ συγγενὲς ψιλὸν, οἷον·

ΣΑΠΦΩ, ΒΑΚΧΟΣ, ΠΙΤΘΕΥΣ.

γ΄) Τὰ διὰ τῆς γλώσσης προφερόμενα εὑρίσκονται δ θ τ μόνον πρὸ τῶν ὑγρῶν, οἷον ΘΛΙΒΩ, ΤΡΙΒΩ, ΔΜΗΘΗΝΑΙ: πρὸ δὲ τοῦ σ ἀποβάλλεται (ἰδὲ §. 10., *β΄*.), εὑρεθέντα δὲ πρὸ ἄλλων ὁμοειδῶν τρέπονται εἰς σ, οἷον ἥδομαι, ἥσθην.

δ΄) Ἐὰν τὸ ὑγρὸν μ ἢ ν δι᾽ ἀποβολῆς φωνήεντος συνέλθῃ μετὰ τοῦ λ ἢ ρ, τίθεται μεταξὺ αὐτῶν τὸ πρὸς τὸ πρῶτον τῶν ὑγρῶν συγγενὲς μέσον (β, δ), οἷον ΜΕΣΗΜΒΡΙΑ (μέση ἡμέρα), ΑΝΔΡΟΣ (ἐκ τοῦ ἀνέρος, γεν. τοῦ ΑΝΗΡ).

ε΄) Ἐὰν εὑρεθῶσι πρὸ τοῦ σ τὰ β π φ ἢ γ κ χ, συνιστῶσι μετ᾽ αὐτοῦ τὰ συγγενῆ διπλᾶ ψ ξ (πλὴν τῶν ἐκ τῆς ΕΚ προθέσεως συνθέτων, οἷον ἐκσώζω), ὅθεν ΛΕΓΩ, ΛΕΞΩ, ΓΡΑΦΩ, ΓΡΑΨΩ.

ϛ΄) Τὰ διὰ τοῦ οὐρανίσκου προφερόμενα σύμφωνα εὑρεθέντα πρὸ τοῦ μ τρέπονται, τὰ μὲν κ καὶ χ εἰς γ, ὅθεν ΠΛΕΚΩ, ΠΛΕΓΜΑ, τὰ δὲ δ, θ, ζ, τ εἰς σ, ὡς ΑΙΔΩ (ᾄδω), ΑΙΣΜΑ (ᾆσμα) ΠΛΑΤΤΩ, ΠΛΑΣΜΑ*). Ἔτι τὰ διὰ τῶν χειλέων προφερόμενα πρὸ τοῦ μ τρέπονται καὶ αὐτὰ εἰς μ, ὅθεν ΛΕΙΠΩ, ΛΕΙΜΜΑ.

---

*) Μένουσι δὲ ὅμως ἐνίοτε ἄτρεπτα, οἷον ἀκμή, αἰχμή, ὀδμή, πότμος.

ζ) Τὸ ν πρὸ μὲν τῶν διὰ τῶν χειλέων προφερομένων τρέπεται εἰς μ, πρὸ δὲ τῶν διὰ τοῦ οὐρανίσκου εἰς γ, οἷον ἐμβαίνω, συμπάσχω, ἐγκαλῶ, συγγενής, συγχαίρω *), πρὸ δὲ τῶν ὑγρῶν ἂν εὑρεθῇ, μεταβάλλεται εἰς αὐτὸ τὸ ὑγρόν, οἷον ἐλλείπω, ἐμμένω, συῤῥάπτω. Μένει δὲ ἄτρεπτον εἰς τὸ ἐνράπτω. Ἔτι πρὸ τοῦ σ καὶ ζ εἰς τὴν σύνθεσιν ἢ φυλάττεται (ἐνσείω), ἢ τρέπεται εἰς σ (συσσιτία), ἢ ἀποβάλλεται (συζυγία, δαίμοσι). Ὅπου δὲ μετὰ τοῦ ν ἀποβληθῇ καὶ δ ἢ θ ἢ τ, τότε τὸ βραχὺ φωνῆεν γίνεται μακρὸν, οἷον πάντες, πᾶσι (πάντσι). Διὰ τοῦτο καὶ τὸ ε τρέπεται εἰς ει καὶ τὸ ο εἰς ου, οἷον σπένδω, σπείσω (σπένδσω), ἑκόντες, ἑκοῦσι (ἑκόντσι). Τὰ δὲ ὀλίγα τὰ φυλάττοντα πρὸ τοῦ σ τὸ ν, οἷον πέφανσαι, πέπανσις, ἕλμινς, σπάνια ὄντα, μανθάνονται διὰ μελέτης εὐκόλως.

---

*) Πλὴν τῶν ἐγκλιτικῶν (ἰδὲ §. 42 Γ'. ς') τόνγε, ὄνπερ, τὰ ὁποῖα, ἂν καὶ διὰ σαφήνειαν γράφωνται οὕτως, ὅμως προφέρονται ὡς τόγγε, ὄμπερ.

§. 4.
ΠΕΡΙ ΠΝΕΥΜΑΤΩΝ.

Πᾶν φωνῆεν χωρὶς συμφώνου προφερόμενον συνοδεύεται ὑπό τινος πνεύματος, τὸ ὁποῖον γεννᾶται ἅμα ἀνοιγομένης τῆς φάρυγγος. Κατ' ἀρχὰς οὖν ὑπῆρξεν εἰς τὸν γραπτὸν λόγον μόνον τὸ δασὺ Η (*ἰδὲ* §. 1. *ΣΧΟΛ.*), *τὸ ὁποῖον διῃρέθη ὕστερον εις* ├ *καὶ* ┤, *καὶ τὸ μὲν πρῶτον σημεῖον ἔμεινεν ὡς δασέα προσῳδία* (῾), *τὸ δὲ δεύτερον ὡς ψιλὴ* (᾿). *Τούτων τῶν πνευμάτων ἓν λαμβάνει πᾶσα λέξις ἀπὸ φωνήεντοςἀρχομένη, οἷον ἀνήρ, ἐγώ, ἅγιος, ἕλος* (*ἰδὲ* §. 42. *Β*'.). *Τὴν δὲ δασεῖαν ἐκτὸς τῶν δασυνομένων φωνηέντων ἔχουσι καὶ αἱ ἀπὸ τοῦ ρ ἀρχόμεναι λέξεις, οἷον ῥήτωρ. Καὶ ὅταν εὑρεθῶσιν εἰς τὸ μέσον λέξεως δύο ρ ἐφεξῆς, τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δασύνεται, οἷον ἔῤῥει. Ἐπὶ δὲ τῶν διφθόγγων φαίνεται τὸ πνεῦμα εἰς τὸ δεύτερον φωνῆεν, οἷον οἰκία, αἱρῶ, ἐκτὸς ὅταν εἰς τὰς τρεῖς διφθόγγους ᾳ ῃ ῳ τὸ ἰῶτα γράφηται κατὰ τάξιν ὡς στοιχεῖον, οἷον Ἅιδης* (*ᾅδης*).

---

§. 5.
ΠΕΡΙ ΣΥΛΛΑΒΩΝ.

Ἐκ τῆς μετ᾿ ἀλλήλων συμπλοκῆς τῶν γραμμάτων γίνονται αἱ συλλαβαὶ, ὧν αἱ μὲν λέγονται καθαραὶ, αἱ δὲ μὴ καθαραὶ ἢ μικταί. Καθαρὰ εἶναι ὅλα τὰ φωνήεντα καὶ αἱ δίφθογγοι, ὅταν δὲν συμπλέκωνται κατὰ τὴν προφορὰν μετὰ τῶν συμφώνων, ἀλλ᾿ ἐκφωνῶνται αὐτὰ καθ᾿ ἑαυτά, οἷον ἀ-ε-τός, ἀ-κού-ω. Μὴ καθαραὶ δὲ ἢ μικταὶ γίνονται τὰ αὐτὰ, συμπλεκόμενα μετὰ τῶν συμφώνων, κατὰ τοὺς περὶ συλλαβισμοῦ κανόνας, (ἰδὲ §. **42.** Α΄), οἷον δοῦ-λος, ἄν-θρω-πος.

Ἅμα συλλαβῶν γινομένων γίνονται λέξεις, αἵτινες κατὰ τὸν ἀριθμὸν τῶν φωνηέντων λαμβάνουσι τὴν ὀνομασίαν, οἷον μονοσύλλαβοι, δισύλλαβοι, τρισύλλαβοι, τετρασύλλαβοι, πεντεσύλλαβοι ἢ πολυσύλλαβοι.

---

§. 6.

ΠΕΡΙ ΜΕΤΑΒΟΛΗΣ ΓΡΑΜΜΑΤΩΝ ΚΑΙ ΣΥΛΛΑΒΩΝ.

Δὲν ὁμιλοῦμεν ἐνταῦθα περὶ τῆς μεταβολῆς τῶν γραμμάτων κατὰ τὰς διαλέκτους τῆς Ἑλληνικῆς γλώσσης, ἐπειδὴ τοῦτο εἶναι ἔργον ἄλλης πραγματείας, ἀλλὰ περὶ τροπῆς γραμμάτων γινομένης μάλιστα διὰ τροπῶν τινῶν.

Α'.

ΠΕΡΙ ΔΑΣΕΩΝ.

Κυρίας τροπῆς τῶν γραμμάτων πρόξενα εἶναι τὰ δασέα, συγκείμενα ἐκ συγγενῶν ψιλῶν καὶ τοῦ δασέος πνεύματος.

α') Ἐὰν εἰς τὴν σύνθεσιν συμπέσωσι ψιλὸν σύμφωνον καὶ δασὺ πνεῦμα, τὸ ψιλὸν τρέπεται εἰς τὸ συγγενὲς δασὺ σύμφωνον, οἷον·

ἐφήμερος, δεχήμερος, αὐθήμερος, τεθρήμερος,

*ἐκ τῶν ἐπί, δέκα, αὐτό, τέτταρα καὶ ἡμέρα. Συμβαίνει δὲ τοῦτο καὶ εἰς διῃρημένας λέξεις, οἷον οὐχ ὁσίως, καὶ μετ' ἀποστρόφου, οἷον ἀφ' οὗ, ἀνθ' ὧν, ἐκ τῶν ἀπό, ἀντί *).*

β') Καὶ ὅπου ἦναι δύο ἄφωνα ἑνωμένα τοῦ αὐτοῦ εἴδους, πάσχουσι τὰ δύο τὴν τροπὴν, οἷον ἑφθήμερος (ἑπτὰ-ἡμέραι), νύχθ' ὅλην (νύκτα ὅλην).

γ') Ἐὰν εἰς δύο συλλαβὰς εὑρεθῶσιν ἐφεξῆς δύο δασέα, τὸ πρῶτον τούτων τρέπεται εἰς τὸ συγγενὲς ψιλὸν, οἷον πεφίληκα (φεφίληκα), κεχώρηκα (χεχώρηκα), ὅθεν καὶ ἐκεχειρία (ἐχεχειρία, ἐκ τοῦ ἔχειν καὶ χείρ).

δ') Ἐνίοτε συμβαίνει αὕτη ἡ τροπὴ εἰς τὸν ἀρχικὸν τῆς λέξεως τόπον, καὶ διὰ τοῦτο πάλιν ἀφαιρεῖται, ὅταν λείπῃ ἡ αἰτία τῆς γενέσεως αὐτῆς, οἷον τρέχω,

---

**) Κατὰ ἰωνικὴν συνήθειαν ἔμειναν καὶ εἰς τὴν ἀττικὴν διάλεκτον τινὰ ψιλὰ, οἷον ἀντήλιος, ἀπηλιώτης (ἐκ τῆς ἀντί καὶ ἀπό καὶ τοῦ ἥλιος), Λεύκιππος, Ἄλκιππος (ἐκ τοῦ ἵππος).*

Ἀξία σημειώσεως εἶναι ἡ ψιλῶν τινῶν τροπὴ, ὁπόταν μεταξὺ αὐτῶν καὶ τοῦ δασέος πνεύματος γράμμα τι παρεμπίπτῃ, οἷον τέθριππον (τέτραΐππος), θοιμάτιον (τὸ ἱμάτιον), φροῦδος (πρὸ-ὁδός), φροίμιον (προοίμιον).

τρέφω (ἀντὶ θρέχω, θρέφω), ὅπου πάλιν εἰσάγεται τὸ θ εἰς τὰ ἐκ τούτων γινόμενα, οἷον θρέψω, θρέξομαι. Σπανίως δὲ πάσχει τὴν τροπὴν ταύτην τὸ δεύτερον τῶν δασέων, ὡς εἰς τὰ εἰς θι προστακτικὰ, οἷον τύφθητι (ἀντὶ τύφθηθι) *).

Ἐκ τούτου τοῦ κανόνος ἐξαιροῦνται·

αα') ὅσα ἔχουσι πρὸ τοῦ δευτέρου δασέος σύμφωνόν τι, οἷον μάχεσθαι, ἐθρέφθην, ὁμοίως καὶ ὅσα πρὸ τοῦ πρώτου, οἷον σχέθω.

ββ') ὅσα τρέπουσι τὸ δεύτερον εἰς δασὺ διὰ τὸ ἑπόμενον δασὺ πνεῦμα, οἷον ἔθηχ' ἡμῖν (ἔθηκε).

γγ') ὅσα ἔχουσι τὰς θεν καὶ θι μεταλήξεις, οἷον πανταχόθεν, Κορινθόθεν.

δδ') τὰ περισσότερα τῶν συνθέτων· οἷον ἀνθοφόρος, ἀμφιχυθείς, ἐφυφαίνω· ἐν ᾧ ἄλλα ἀκολουθοῦσι τὸν κανόνα, ὡς τὸ ἀμπέχω (ἐκ τοῦ ἀμφί καὶ ἔχω), ἐπαφή (ἐκ τοῦ ἐπί καὶ ἀφή), ἄπεφθος (ἐκ τοῦ ἀπό καὶ ἑφθός).

ε') Ἐκτείνεται ὁ νόμος οὗτος καὶ εἰς τὸ δασὺ πνεῦμα· τούτου δὲ ἓν μόνον παράδειγμα ὑπάρχει ἐκ τῆς παλαιοτάτης γλώσσης, τὸ ἔχειν, ὅπερ, ψιλούμενον εἰς τοὺς ἄλλους χρόνους, εἰς τὸν μέλλοντα δασύνεται· ἕξω, ὁμοίως καὶ εἰς τὰ παραγόμενα ἀπὸ τούτου, οἷον ἑκτικός.

Β'.

ΠΕΡΙ ΣΥΝΑΙΡΕΣΕΩΣ.

Ἀποφεύγει ἡ Ἀττικὴ διάλεκτος τὴν συνδρομὴν τῶν φωνηέντων, μεταχειριζομένη τὴν συναίρεσιν, ἥτις δύο φωνήεντα συνάπτει εἰς ἕν.

α') Δύο φωνήεντα συνιστῶσι καθ' ἑαυτὰ δίφθογγον, καὶ οὕτω γίνεται

ει καὶ οι ἐκ τοῦ εϊ καὶ οϊ, ὡς τείχεϊ, τείχει, αἰδόϊ, αἰδοῖ.

ᾳ καὶ ῃ καὶ ῳ ἐκ τῶν αϊ, ηϊ, ωϊ, ὡς γήραϊ, γήρᾳ, Θρήϊσσα, Θρῇσσα, λώϊστος, λῷστος.

*) Ἡ εἰς θην τῶν παθητικῶν κατάληξις τρέπει τὸ προηγούμενον θ ἐπὶ τῶν ῥημάτων θύειν, θεῖναι, οἷον ἐτύθην, ἐτέθην, ἀλλ' οὐχὶ καὶ τῶν ἄλλων δασέων, οἷον ἐχύθην (χέω), ὀρθώθην (ὀρθόω).

β') Δύο φωνήεντα τρέπονται εἰς ἓν συγγενὲς μακρὸν, ὅθεν γίνεται

η ἐκ τοῦ εα, οἷον τείχεα, τείχη.

ει ἐκ τοῦ εε, οἷον ποίεε, ποίει.

ἔτι δὲ ω { ἐξ αο καὶ αου, ὡς τιμάομεν, τιμῶμεν, τιμάου, τιμῶ. ἐξ οα καὶ οη, οἷον αἰδόα, αἰδῶ, ἀκριβόητε, ἀκριβῶτε.

ου { ἐξ οο, ὡς πλόος, πλοῦς. ἐξ οε, ὡς ἠκρίβοε, ἠκρίβου. ἐξ εο, ὡς τείχεος, τείχους, φιλέομεν, φιλοῦμεν.

γ') Μακρὸν φωνῆεν καταπίνει ἕτερον φωνῆεν, χωρίς τινος τροπῆς. Τοῦτο συμβαίνει μάλιστα εἰς τὸ

ε πρὸ μακροῦ ἢ μετὰ μακρὸν φωνῆεν, ὡς φιλέω, φιλῶ, δαφνήεντος, δαφνῆντος.

α καὶ ο καταπίνονται μόνον ὑπὸ συγγενῶν καὶ ὑπὸ τοῦ ω, ὡς τιμάω, τιμῶ, Ποσειδάων, Ποσειδῶν, ἀκριβόουσι, ἀκριβοῦσι, πλόοι, πλοῖ.

δ') Τὰ α, ι, υ, βραχέα ὄντα, καταπίνουσι τὸ ἑπόμενον φωνῆεν, καὶ γίνονται μακρὰ, ὡς

ἄεθλος, ἆθλος, τίμαε, τίμα, Χίϊος, Χῖος, ἰχθύες, ἰχθῦς.

ε') Ἐὰν δίφθογγος, ἔχουσα ι (καὶ τὸ αὐτὸ κρατεῖ καὶ περὶ τῶν καταχρηστικῶν), συναιρεθῇ μετὰ φωνήεντος προηγουμένου, τὰ μὲν πρῶτα δύο φωνήεντα μεταβάλλονται κατὰ τοὺς ἀνωτέρω κανόνας, τὸ δὲ ι ἢ ὑπογράφεται, οἷον τύπτεαι, τύπτῃ, ἀείδω, ᾄδω, ἀοιδή, ᾠδή, τιμάει, τιμᾷ, ἢ ἀποβάλλεται, ἂν τὸ γινόμενον φωνῆεν ἦναι τῶν μὴ ἐπιδεχομένων ὑπογραφὴν, οἷον ἀκριβόειν, ἀκριβοῦν, Ὀπόεις, Ὀποῦς.

Οἱ κανόνες οὗτοι κρατοῦσιν ἐπὶ τῆς συναιρέσεως τῶν ὁμαλῶν. Περὶ τῶν ἀνωμάλων καὶ ἐξαιρουμένων θέλομεν εἰπεῖν κατωτέρω, καθὼς καὶ περὶ τῶν Ἰωνικῶν χρήσεων εἰς τὴν περὶ διαλέκτων πραγματείαν.

Γ'.

ΠΕΡΙ ΧΑΣΜΩΔΙΑΣ.

Ὅταν δύο ἐφεξῆς κειμένων λέξεων ἡ πρώτη τελευτᾷ εἰς φωνῆεν καὶ ἡ δευτέρα ἄρχηται ἀπὸ φωνήεντος, προ-

ξενεῖται κακοφωνία τις ἐκ τούτου, καλουμένη χασμωδία. Ἀπέφευγον αὐτὴν μάλιστα μὲν οἱ Ἀττικοὶ ποιηταὶ, ἔπειτα δὲ καὶ οἱ λογογράφοι ὡς ἐπὶ τὸ πλεῖστον, πλὴν τῶν Ἰώνων, μεταχειριζόμενοι τήν τε συναλοιφὴν καὶ τὴν δι' ἀποστρόφου θλίψιν, ἔτι δὲ τὴν παρένθεσιν τοῦ ἐφελκυστικοῦ ν.

ΠΕΡΙ ΣΥΝΑΛΟΙΦΗΣ ΚΑΙ ΚΡΑΣΕΩΣ.

Ἡ συναλοιφὴ εἶναι κρᾶσις δύο φωνηέντων συγκρουομένων, σημαινομένη διὰ τοῦ σημείου ', τὸ ὁποῖον οἱ παλαιοὶ Γραμματικοὶ ὠνόμαζον Κορωνίδα *). Διαφέρει λοιπὸν ἡ κρᾶσις τῆς συναιρέσεως, καθὸ ἐκείνη μὲν ἀφορᾷ τὰ φωνήεντα μιᾶς λέξεως, αὕτη δὲ τὰ διαφόρων λέξεων.

Ἡ κρᾶσις συμβαίνει ὡς ἐπὶ τὸ πλεῖστον εἰς τὸ ἄρθρον, εἰς τὸ μόριον καὶ καὶ εἰς τὸ ἐπιφωνηματικὸν ὦ, οἷον·

τοὔνομα (τὸ ὄνομα), ταὐτό (τὸ αὐτό),
ταὐτοῦ (τοῦ αὐτοῦ),
ὤνθρωπε (ὦ ἄνθρωπε),
κἀκεῖνος (καὶ ἐκεῖνος), κἀγώ (καὶ ἐγώ).

α') Ὅταν τῶν δύο συλλαβῶν ἡ πρώτη ἔχῃ δίφθογγον λήγουσαν εἰς ι, ἀποβάλλεται τὸ ῐ τοῦτο, οἷον·

κἄπειτα (καὶ ἔπειτα), ὦνδρες (οἱ ἄνδρες), τἠμῇ (τῇ ἐμῇ), οὑμοί (οἱ ἐμοί)·

ὑπογράφεται δὲ τὸ ι, ὅταν ἡ δευτέρα συλλαβὴ τὸ ἔχῃ, οἷον·

ἐγᾦδα (ἐγὼ οἶδα), κᾆτα (καὶ εἶτα).

β') Πολλάκις καταπίνεται τὸ φωνῆεν τῆς πρώτης ὑπὸ τοῦ φωνήεντος τῆς δευτέρας συλλαβῆς, ἥτις ἐξ αἰτίας τούτου γίνεται μακρὰ, οἷον·

τἀληθές (τὸ ἀληθές), κἀρετή (καὶ ἀρετή), τἀνδρός (τοῦ ἀνδρός).

Ὅθεν καὶ γραπτέον τἆλλα (τὰ ἄλλα), οὐχὶ τἄλλα.

γ') Ὅπου καταπίνεται τὸ φωνῆεν τῆς δευτέρας λέξεως ὑπὸ τοῦ μακροῦ φωνήεντος τῆς πρώτης, γράφεται ἐνίοτε διῃρημένως ἡ λέξις, σαφηνείας ἕνεκα, οἷον·

ὦ 'νθρωπε, ὦ 'γαθέ (ὦ ἀγαθέ), ποῦ 'στιν, εἰ μὴ 'χοιμι (ἔχοιμι).

Γίνεται δὲ ἡ ἀφαίρεσις αὕτη μόνον τότε, ὅταν τὸ φωνῆεν

---

*) Ἀφαιρεῖται ἐνίοτε ἡ Κορωνίς, μάλιστα ὅταν συμπίπτῃ μὲ τὸ πνεῦμα.

δὲν ἐπιδέχηται μεταβολήν· ἐπεὶ μέντοι ᾿γὼ ἤθελεν εἶσθαι σφάλμα, καὶ γραπτέον μεντοὐγώ.

ΣΧΟΛ. α΄. Κρᾶσις τοῦ ἄρθρου.
οὑκ (ὁ ἐκ),
οὑπί (ὁ ἐπί),
ἁνήρ (ὁ ἀνήρ), ὧνδρες (οἱ ἄνδρες),
ἅνθρωπος (ὁ ἄνθρωπος), ὥνθρωποι (οἱ ἄνθρωποι),
οὑμός (ὁ ἐμός), οὑμοί (οἱ ἐμοί),
τοὔνομα (τὸ ὄνομα), τοὖπος (τὸ ἔπος),
τοὐμοῦ (τοῦ ἐμοῦ),
τὼ ᾿φθαλμώ (τὼ ὀφθαλμώ),
τὠμῷ (τῷ ἐμῷ) τἠμῇ (τῇ ἐμῇ),
τἠκκλησίᾳ (τῇ ἐκκλησίᾳ),
τἀληθές, τἄδικον (τὸ ἀληθές, τὸ ἄδικον),
τἀνδρί, τἀνδρός (τῷ ἀνδρί, τοῦ ἀνδρός),
τῳκίδιον (τὸ οἰκίδιον),
τᾆτιον (τὸ αἴτιον).

Σημείωσαι, αα΄) ὅτι τὸ ἄρθρον (τὸ, τά) ὅπου συμπίπτῃ μὲ τὸ δασὺ πνεῦμα, μεταβάλλεται εἰς θ κατὰ τὸν ἀνωτέρω κανόνα, οἷον·
θὦπλα, (τὰ ὅπλα),
θοἰμάτιον (τὰ ἱμάτιον), θαἰμάτια (τὰ ἱμάτια),
θἠμετέρου, (τοῦ ἡμετέρου),
θοὔδατος (τοῦ ὕδατος),
καὶ εἰς τὸ ποιητικὸν ὁθούνεκα (ὅτου ἕνεκα).

ββ΄.) ὅτι τὸ ἕτερος μετὰ τοῦ ἄρθρου οὕτω τρέπεται·
ἅτερος, ἁτέρα (ἡτέρα), θάτερον, θατέρου, θατέρῳ, καὶ πληθυντ. ἅτεροι, ἅτεραι, θάτερα.

ΣΧΟΛ. β΄. Κρᾶσις τοῦ καί.
κἀν (καὶ ἐν), κἄν (καὶ ἄν, καὶ ἐάν),
κἀκ (καὶ ἐκ), κἄπειτα (καὶ ἔπειτα),
κἀμέ, κἀγώ, κἀτόλμησε, κἀγαθός, καὐτός, κοὐ, κοὐκ, κοὐχί, κεἶ, κεἰς (καὶ εἰς), κᾆτα, κῳκία (καὶ οἰκία), κῷνος (καὶ οἶνος), κἀνταῦθα (καὶ ἐνταῦθα).

Σημείωσαι, ὅτι καὶ ἐνταῦθα εἰςάγεται τὸ δασὺ, οἷον·
χὠ (καὶ ὁ), χοἰ (καὶ οἱ),
χἠ (καὶ ἡ), χαἰ (καὶ αἱ),
χἄτερος (καὶ ἕτερος), χἀτέρας (καὶ ἑτέρας),
χὤσα, χὤστις, χὤπως (καὶ ὅσα, καὶ ὅστις, καὶ ὅπως).

ΣΧΟΛ. γ΄. Ὑπὸ τὴν κρᾶσιν πίπτουσιν ἐκτὸς τῶν εἰρημένων καὶ ἡ ἀναφορικὴ ἀντωνυμία, οἷον· οὑφόρει (ὃ ἐφόρει), ἁγώ (ἃ ἐγώ), ἅν (ἃ ἄν), ἅδοξε (ἃ ἔδοξε), καὶ ἡ πρό, οἷον προὐλίγου (πρὸ ὀλίγου), προὔργου (πρὸ ἔργου, μετὰ τοῦ φρουδος), προὔδωκα, (προέδωκα), προὐφείλω, (προοφείλω), καὶ τὰ μόρια, τοὶ, μέντοι, ἤτοι, οὔτοι, οἷον· μέντ᾿ ἄν, ἤτ᾿ ἄρα, οὔτ᾿ ἄρα, οὐχὶ ἀκριβῶς γραφόμενα,

§. 7.
ΠΕΡΙ ΑΠΟΣΤΡΟΦΟΥ.

α') Ἡ δι' ἀποστρόφου θλίψις γίνεται, ὅταν ἀποβληθῇ φωνῆεν βραχὺ, εἰς τὸ τέλος ὂν τῆς προηγουμένης λέξεως, ἐξ αἰτίας τῆς ἑπομένης ἀπὸ φωνήεντος ἀρχομένης, οἷον· ἐπ' ἐμοῦ, ἀπ' ἐμοῦ, ἀφ' οὗ (τρεπομένου τοῦ ψιλοῦ εἰς δασὺ διὰ τὸ ἑπόμενον δασὺ πνεῦμα, §. 6. Α'. α'.)

β) Οἱ λογογράφοι ἀποβάλλουσι δι' ἀποστρόφου ὡς ἐπὶ τὸ πλεῖστον τὰ ληκτικὰ φωνήεντα τῶν προθέσεων·
ἀνά, διά, κατά, μετά, παρά, ἀπό, ὑπό, ἐπί, ἀντί, ἀμφί·
τῶν μορίων,
ἀλλά, ἄρα, ἆρα, εἶτα, ἵνα, ἔτι, ποτέ, τέ, γέ, δέ, μετὰ τῶν συνθέτων οὔτε, οὐδέ, μήτε, μηδέ, ὅδε·
τῶν ἀντωνυμιῶν·
τοῦτο, ταῦτα, τινά, σέ, μέ,
τοῦ ῥήματος· ἐστί,
καὶ ὀλίγων ἄλλων λέξεων, οἷον·
πάντ' ἄν, οἶδ' ὅτι, νὴ Δί', φήμ' ἐγώ, γένοιτ' ἄν, εἰδείηθ' ὑμεῖς, ἡγούμεθ' ἂν, ἐλύοντ' ἂν.

γ') Εἰς ἄλλα συμβαίνει τοῦτο σπανίως, οἷον μάλα, πότερα, ἕνεκα, εἰς τὰ πλειότερα οὐδέποτε, οἷον εἰς τὸ βραχὺ υ καὶ τὰ εἰς α, ι, ο μονοσύλλαβα, οἷον τά, τί, τό, μά, πρό, ὁμοίως εἰς τὴν πρόθεσιν περί.

δ') Ἐὰν τὸ ἀποβληθὲν φωνῆεν ἔχῃ τόνον, ἀποβάλλεται καὶ αὐτὸς μετ' ἐκείνου εἰς τὰ μόρια, ὡς· ἀπ' ἐμοῦ (ἀπὸ ἐμοῦ), ἀλλ' ὃ (ἀλλὰ ὃ), οὐδ' ἂν (οὐδὲ ἄν). Εἰς δὲ τὰς ἄλλας λέξεις μεταβιβάζεται ὡς ὀξὺς εἰς τὴν προηγουμένην συλλαβὴν, οἷον· φήμ' ἐγώ (φημὶ ἐγώ), πολλ' ἂν ἔτ' ἔχων εἰπεῖν (πολλὰ ἄν ἔτ' κτλ.). Τὰ πλειότερα παραδείγματα εἶναι ποιητικά, ὡς δειν' ἔπη (δεινὰ ἔπη), κακ' ἔπη (κακὰ ἔπη).

ε') Ἔμπροσθεν τοῦ ἂν πολλάκις δύναται νὰ εἰςαχθῇ ἡ θλίψις, οἷον· τάχ' ἄν, ἥκιστ' ἂν, οὐδ' ἄν, πολλ' ἄν.

ἀλλ' ἔπρεπε νὰ γράψωμεν, μέντ' ἂν, ἢ τἆρα, οὔ τἆρα, ὅπως ἂν γένῃ ἐνδηλότερον τὸ πάθος τοῦ ά, τὸ ὁποῖον γίνεται μακρόν.

§. 8.

ΠΕΡΙ ΤΟΥ ΕΦΕΛΚΥΣΤΙΚΟΥ Ν, ΚΑΙ ΑΛΛΩΝ ΛΗΚΤΙΚΩΝ ΣΥΜΦΩΝΩΝ.

Φαίνεται, ὅτι τὸ ν̄ μετεχειρίζοντο οἱ Ἕλληνες γενικῶς εὐφωνίας ἕνεκα, καὶ ὃν ἐξ ἀρχῆς, ὡς καὶ τὰ ἄλλα σύμφωνα ἴδιον ἀρχαίων σχηματισμῶν, ἀπεβλήθη ὕστερον πρὸ τῶν συμφώνων εἰς ἀποφυγὴν κακοφωνίας. Οἱ δὲ Ἀττικοὶ παρέλαβον αὐτὸ κυρίως ἐπὶ τῷ νὰ φύγωσι τὴν χασμωδίαν.

Προςτίθεται δὲ α′) εἰς τὰς πληθ. δοτικὰς σ̄ι, ψ̄ι, ξ̄ι, οἷον· πᾶσιν εἶπε· Ἄραψιν αὐτοῖς, γυναιξὶν ὡραίαις.

β′) Εἰς τὴν τοπικὴν κατάληξιν εἰς σ̄ι, οἷον Ὀλυμπίασιν, Ἀθήνησιν·

γ′) εἰς τὸ δεικτικὸν ι, οἷον (οὑτοσίν),

δ′) εἰς τὰς λέξεις· εἴκοσι, πέρυσι,

ε′) εἰς ὅλα τὰ εἰς ε καὶ ι τρίτα πρόσωπα τῶν ῥημάτων, οἷον· εἶπεν αὐτοῖς, λέγουσιν ἐκεῖνοι.

ΣΗΜ. Τοῦτο λοιπὸν τὸ ληκτικὸν σύμφωνον οἱ μὲν Ἴωνες ἀποβάλλουσι καὶ πρὸ φωνήεντος, οἱ δὲ Ἀττικοὶ προςδέχονται αὐτὸ καὶ πρὸ συμφώνων δι' ἔμφασιν πολλάκις. Καὶ παλαιὰ χειρόγραφα καὶ ἐπιγραφαὶ ἀποδεικνύουσιν, ὅτι τὸ ἔβαλλον καὶ εἰς τὸ τέλος τοῦ λόγου, τῆς περιόδου, τῶν στίχων, μηδὲν φροντίζοντες περὶ τοῦ ἑπομένου γράμματος.

Ὁμοίως μεταχειρίζονται τὸ εἰς ς μόριά τινα, οἷον οὕτως, οὕτω, οὕτως ἐποίει, οὕτω ποιήσει. καὶ εἰς τὰ ἄχρι, ἄχρις, μέχρι, μέχρις. Εὑρίσκονται δὲ ταῦτα καὶ πρὸ φωνήεντος ἐστερημένα τοῦ ς.

Τὸ μόριον ο̄ὐ̄ προςλαμβάνει πρὸ φωνήεντος κ, πρὸ δασέος χ, οἷον·

οὐ πάρεστιν, οὐκ ἔνεστιν, οὐχ ὕπεστιν.

Ἐὰν δὲ τεθῇ τὸ μόριον τοῦτο εἰς τὸ τέλος τοῦ λόγου, μένει ἀμετάβλητον, πλὴν ὅσον λαμβάνει τὴν ὀξεῖαν, οἷον·

οὔ· ἀλλ' ὅταν κτλ. (Ξενοφ. συμπ. ς′, 2.)

Ἔτι ἡ ἐξ πρόθεσις ἔχει τὸ σχῆμα τοῦτο μόνον πρὸ φωνηέντων ἢ κατὰ τὸ τέλος, ὡς ἐξ ἐμοῦ (κακῶν ἔξ), συνελθοῦσα δὲ μὲ σύμφωνα ἀποβάλλει τὸ εἰς τὸ ξ ἀποκεκρυμμένον ς καὶ μένει ἐκ, ὡς ἐκ θεοῦ.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

ΠΕΡΙ ΛΟΓΟΥ ΜΕΡΩΝ.

§. 9.

Λέξεων συμπλοκὴ εἶναι λόγου οὐσία. Εἶναι δὲ αὕτη κυρίως μὲν τριμερής, συνισταμένη ἐξ ὀνόματος καὶ ῥήματος καὶ μορίου, ἐπιδέχεται δὲ ὀκτὼ ὑποδιαιρέσεις ἀναγκαίας πρὸς εὐκολίαν τῆς συνόψεως. Διορίζομεν λοιπὸν τὰς ὀκτὼ τάξεις, ὡς ἐφεξῆς·

1) *Ὄνομα.* 2) *Ἀντωνυμία.* 3) *Μετοχή.* 4) *Ῥῆμα.*	*κλιτά.*
5) *Ἐπίῤῥημα.* 6) *Πρόθεσις.* 7) *Σύνδεσμος.* 8) *Ἐπιφωνηματικόν*	*ἄκλιτα.*

ΛΕΞΕΩΝ ΔΙΑΙΡΕΣΙΣ.

ΔΩΡΩ ΤΑΝ ΔΕ ΤΡΙΤΑΝ ΜΙΣΘΩΣΙΝ ⊏ΕΓΥΙΟΝ ΠΕΙΣΙΑΣ ΛΕ
ΟΝΤΙΣΚΩ ΤΡΙΑΚΟΝΤΑ ΠΕΝΤΕ ΜΕΔΙΜΝΩΝ ΠΡΩΓΓΥΟΣ
ΤΩ ΣΩΜΑΤΟΣ ΚΝΣΦΑΙΡΩΤΗΡ ΕΣ ΑΡΙΣΤΟΔΑΜΟΣ
ΤΑΝ ΔΕ ΤΕΤΑΡΤΑΝ ΜΙΣΘΩΣΙΝ ΑΛΛΩΤΗΡΙΟΝ ΦΙΛΙΠ
ΠΟΣ ΦΙΛΙΠΠΩ ΔΙΑΚΑΤΙΩΝ ͰΕΒΔΕΜΗΚΟΝΤΑ ͰΟΚΤΩ
ΜΕΔΙΜΝΩΝ ΠΡΩΓΓΥΟΣ ΤΩ ΣΩΜΑΤΟΣ ΠΕ ΚΑΡΥΚΕΙΟΝ
ΑΠΟΛΛΩΝΙΟΣ ͰΗΡΑΚΛΗΤΩ

ΓΡΑΜΜΑΤΕΥΣ ⊏ΕΓΥΙΟΝ ΑΡΙΣΤΟΔΑΜΟΣ ΣΥΜΜΑΧΩ

ΓΑΜΕΤΡΑΣ ΧΑΙΡΕΑΣ ΔΑΜΩΝΟΣ ΝΕΑΠΟΛΙΤΑΣ

ΣΗΜΕΙΩΣΙΣ. Ἐλάβομεν ταύτην τὴν Δωρικὴν ἐπιγραφὴν ἐκ τῶν Ἡρακλεωτικῶν πινάκων τῶν σωζομένων ἔτι καὶ νῦν ἐν Νεαπόλει τῆς Ἰταλίας, νο-

ται ἀπὸ τῶ ἀντόμω τῶ τρίτω ἀπὸ τᾶς τριακονταπέδω ἐπὶ τὸν ἄντομον τὸν ὁρίζοντα τώς τε τῶ Διονύσω χώρως καὶ τὰ Φιντίας ὁ Κρατίνω παμωχεῖ· ὁ δὲ ἀνελόμενος ἐργαξεῖται τὰ μὲν ἄλλα κατ τὰν συνθήκαν, καθ' ὡς καὶ τὼς λοιπὼς γέγραπται, τὰς δὲ ἀμπέλως τὰς ὑπαρχώσας ἐργαξεῖται ὡς βέλτιστα· ὅσσαι δέ κα τᾶν ἀμπέλων ἀπογηράσκωντι, ποτιφυτεύσει ὥστε ἀεὶ ὑπάρχεν τὸν ἴσον ἀριθμὸν τᾶν σχοίνων τὸν νῦν ὑπάρχοντα, ϝίκατι τέτορας σχοίνως, αἰ δὲ μή, προκαδδεδικάσθω δύο μνᾶς ἀργυρίω πὰρ τὰν σχοῖνον ἑκάσταν, τὰς δὲ ἐλαίας καὶ τὰς συκίας καὶ τὰ ἄλλα δένδρεα τὰ ἥμερα τὰ ὑπάρχοντα πάντα ἐν τᾷ μερίδι ταύτᾳ περισκαψεῖ καὶ ποτισκαψεῖ τὰ δεόμενα· καὶ αἴ τινά κα γήρᾳ ἢ ἀνέμῳ ἐκπέτωντι, ἀποκαταστασεῖ μὴ μείω τὸν ἀριθμὸν τῶν ὑπαρχόντων, ποτιφυτευσεῖ δὲ καὶ ἐλαίας ἐν τᾷ ψιλᾷ ὁμολόγως ποιῶν τοῖς ὑπαρχόντασσι δενδρέοις καὶ τὸν ἀριθμὸν τὸν ἴσον, καθὼς καὶ ἐν τᾷ ἄλλᾳ συνθήκᾳ γέγραπται· ὅ τι δέ κα μὴ πράξει ὁ ἀνελόμενος καττὰν συνθήκαν, ἢ μὴ ἐν τοῖς χρόνοις τοῖς γεγραμμένοις, ὑπόλογος ἐσσεῖται τοῖς πολιανόμοις καὶ τοῖς σιταγέρταις τοῖς ἐπὶ τῶ ἔτεος, καθὼς καὶ ἐν τᾷ ἄλλᾳ συνθήκᾳ γέγραπται· αἰ δέ κα τοὶ πολιανόμοι τοὶ ἐπὶ τῶν ἐτέων ἔντες μὴ πράξωντι πάντα καττὰν συνθήκαν, αὐτοὶ ὑπόλογοι ἔσσονται καττὰν συνθήκαν. Ἐπὶ τούτοις ἐμισθώσαντο τὰν μὲν πράταν μίσθωσιν ἀπὸ τῶν τῶ Ἡρωΐδα. ΜΕ ΚΙΒΩΤΙΟΝ Βορμίων Φιλώτα πεντήκοντα ἑπτὰ μεδίμνων κάδδιχος, πρώγγυος τῶ σώματος ΜΕ ΚΙΒΩΤΙΟΝ Ἀρκὰς Φιλώτα· τὰν δὲ δευτέραν μίσθωσιν ⊢Α ΕΜΒΟΛΟΣ Δάμαρχος Φιλωνύμω τετρώκοντα μεδίμνων πρώγγυος τῶ σώματος..... Θεόδωρος Θεοδώρω. τὰν δὲ τρίταν μίσθωσιν ϹΕΓΥΙΟΝ Πεισίας Λεοντίσκω τριάκοντα πέντε μεδίμνων, πρώγγυος τῶ σώματος ΚΝΣΦΑΙΡΩΤΗΡΕΣ Ἀριστόδαμος...... Τὰν δὲ τετάρταν μίσθωσιν ΑΛΛΩΤΗΡΙΟΝ Φίλιππος Φιλίππω διακατίων ἑβδεμήκοντα ὀκτὼ μεδίμνων· πρώγγυος τῶ σώματος ΠΕΚΑΡΥΚΕΙΟΝ Ἀπολλώνιος Ἡρακλήτω.

Γραμματεὺς ϹΕΓΥΙΟΝ Ἀριστόδαμος Συμμάχω,
γαμέτρας Χαιρέας Δάμωνος Νεαπολίτας.

μίζοντες μαρτυρίαν εἶναι σαφεστάτην τῆς Δωρικῆς συνηθείας. Ἐγράφη κατὰ τὸ εἰκὸς περὶ 30 πρὸ Χρ. Λέγοι δὲ ἂν κατὰ τὴν Ἀττικὴν φωνὴν τοιάδε·

Συνθήκη Διονύσου χώρων.

Ἐπὶ Ἐφόρου Ἀριστίωνος, μηνὸς Ἀπελλαίου, ἡ πόλις καὶ οἱ πολιανόμοι, ΑΣ ΒΟΤΡΥΣ Τίμαρχος Νίκωνος ϜΕ ΑΝΘΕΜΟΝ Ἀπολλώνιος Ἀπολλωνίου, καὶ οἱ ὁρισταὶ ϜΕ ΤΡΙΠΟΥΣ Φιλώνυμος Ζωπυρίσκου, ΠΕ ΚΗΡΥΚΕΙΟΝ Ἀπολλώνιος Ἡρακλείτου, ΑΙ ΠΕΛΤΑ Δάζιμος Πύῤῥου, ΚΝ ΘΡΙΝΑΞ Φιλώτας Ἱστιείου, ΜΕ ΕΠΙΣΤΥΛΙΟΝ) Ἡρακλείδης Ζωπύρου, μισθοῦσι τοὺς ἱεροὺς χώρους τοὺς τοῦ Διονύσου ἔχοντας ὡς ἔχουσι κατὰ βίου, καθὰ οἱ Ἡρακλεῶται διέγνωσαν· οἱ δὲ μισθωσάμενοι καρπώσονται τὸν ἀεὶ χρόνον ἕως ἂν ἐγγυητὰς προσάγωσι καὶ τὸ μίσθωμα ἀποδιδῶσι παρ' ἔτος ἀεὶ Πανέμου μηνὸς προτεραίᾳ, κἂν ἔμπροσθεν ἀποδιδῶσιν, ἀπάξουσιν εἰς τὸν δημόσιον σιτοβολῶνα καὶ παραμετρήσουσι τοῖς σιταγέρταις τοῖς ἐπὶ τῶν ἐτῶν τῷ δημοσίῳ χοῒ μεστοὺς τοὺς χοᾶς κριθῆς καθαρᾶς δοκίμης οἵας ἂν ἡ γῆ φέρῃ· προσάξουσι δὲ ἐγγυητὰς τοῖς πολιανόμοις τοῖς ἀεὶ ἐπὶ τῶν ἐτῶν οὖσι κατὰ πενταετηρίδα, οὓς ἂν ἐθέλοντες οἱ πολιανόμοι δέχωνται, καὶ ἄν τινι ἄλλῳ παραδῶσι τὴν γῆν, ἣν ἂν μισθώσωνται, ἢ ἀρτύσωσιν ἢ ἀποδῶνται τὴν ἐπικαρπίαν, ὁμοίως παρέξονται ἐγγυητὰς οἱ παραλαβόντες ἢ οἷς ἂν ἀρτύσῃ, ἢ οἱ πριάμενοι τὴν ἐπικαρπίαν, καθάπερ καὶ ὁ ἐξ ἀρχῆς μεμισθωμένος· ὅστις δὲ ἂν μὴ προσάγῃ ἐγγυητὰς ἢ μὴ τὸ μίσθωμα ἀποδιδῷ κατὰ τὰ γεγραμμένα, τό τε μίσθωμα διπλῆ ἀποτίσει τὸ ἐπὶ τοῦ ἔτους καὶ τὸ ἀναπώλημα τοῖς τε πολιανόμοις καὶ τοῖς σιταγέρταις τοῖς ἀεὶ ἐπὶ τοῦ ἔτους ὅσῳ ἂν μείονος ἀναμισθωθῇ παρὰ πέντε ἔτη τὰ πρῶτα, ὅ τι ἂν ᾖ ἐψηφισμένον, ἅμα πᾶν τῷ πρώτῳ μισθώματι, καὶ τὰ ἐν τῇ γῇ πεφυτευμένα καὶ ᾠκοδομημένα πάντα τῆς πόλεως ἔσται· ἐργάσονται κατὰ τάδε· ὁ μὲν τὸν πρῶτον χῶρον μισθωσάμενος τὸν παρὰ τὸν ἄντομον**) τὸν ὑπὲρ Πανδοσίας ἄγοντα τὸν παρὰ τὰ Ἡρῴδεια ἄχρι τῆς τριακονταπέδου, ἀμπέλων μὲν φυτεύσει μὴ μεῖον ἢ δέκα σχοίνους, ἐλαιῶν δὲ φυτὰ ἐμβαλεῖ εἰς τὴν σχοῖνον ἑκάστην μὴ μεῖον ἢ τέτταρα εἰς τὴν δυνατὴν γῆν ἐλαίας ἔχειν· ἂν δὲ μὴ φῶσιν οἱ μεμισθωμένοι δυνατὴν εἶναι ἐλαίας ἔχειν, οἱ πολιανόμοι οἱ ἀεὶ ἐπὶ τῶν ἐτῶν ὄντες, καὶ εἴ τινας ἄλλους οἱ πολιανόμοι προσαιρή-*

---

*) *Αἱ συλλαβαὶ ΑΣ, ϜΕ, ΠΕ, ΑΙ, ΚΝ, ΜΕ, ἀρχικαὶ οὖσαι ὀνομάτων, σημαίνουσι τὰς Λακωνικὰς φυλάς, εἰς ἃς ἕκαστος συνετέλει τῶν ὀνομαζομένων ἐνταῦθα Ἡρακλεωτῶν· τὰ δὲ προσκείμενα ὀνόματα (ΒΟΤΡΥΣ κτλ.) σύμβολα ἂν εἴη ἑκάστης τῶν φυλῶν.*

**) *Τουτ. ὅρος.*

σονται ἀπὸ τοῦ δήμου, ὀμόσαντες δοκιμάσουσι καὶ ἀναγγελοῦσιν ἐν ἀγορᾷ, θεασάμενοι τὴν γῆν πρὸς τὴν τῶν ἐπιχωρίων· ἐπιμελήσονται δὲ καὶ τῶν ὑπαρχόντων δένδρων· ἂν δέ τινα γήρᾳ ἢ ἀνέμῳ ἐκπέσῃ, αὐτοὶ ἕξουσι· ταῦτα δὲ πάντα πεφυτευμένα παρέξουσι καὶ πεποιημένα, ὅσα ἐν τῇ συνθήκῃ γέγραπται ἐν τῷ πέμπτῳ καὶ δεκάτῳ ἔτει ἀπὸ τοῦ προσεχοῦς ἔτους ἢ Ἀριστίων ἐφορεύει· ἂν δὲ μὴ πεφυτεύκωσι κατὰ τὰ γεγραμμένα, κατεδικάσθησαν τῆς μὲν ἐλαίας δέκα ἀγυροῦς παρὰ τὸ φυτὸν ἕκαστον, τῶν δὲ ἀμπέλων δέκα μνᾶς ἀργυρίου παρὰ τὴν σχοῖνον ἑκάστην, τοὺς δὲ πολιανόμους τοὺς ἐπὶ τοῦ ἔτους, προσελομένους μετ᾽ αὐτοὺς αὐτῶν ἀπὸ τοῦ δήμου μὴ μεῖον ἢ δέκα ἄνδρας, ἀμφίστασθαι ἂν πεφυτεύκωσι πάντα κατὰ τὴν συνθήκην, καὶ τοὺς μὲν πεφυτευκότας ἀναγράψαι εἰς δόγμα, ἀναγράφειν δὲ καὶ ὅσα πεφυτεύκασι· ὁμοίως δὲ καὶ ἀναγραψάντων, εἴ τινες μὴ πεφυτεύκασι κατὰ τὴν συνθήκην, καὶ ἐπιθέντων τὰ ἐπιζήμια τὰ γεγραμμένα πρὸς τῷ ἄλλῳ μισθώματι· εἰ δέ τις ἐπιβαίη ἢ νέμοι ἢ φέροι τι τῶν ἐν τῇ ἱερᾷ γῇ ἢ τῶν δένδρων τι κόπτοι ἢ θραύσειεν ἢ πριώῃ ἢ ἄλλο τι λυμαίνοιτο, ὁ μεμισθωμένος τιμωρήσεται· οὓς ἂν λάβῃ τῶν πολιστῶν καὶ ὅ τι ἂν λάβῃ, αὐτὸς ἕξει· τὰς δὲ τάφρους τὰς διὰ τῶν χώρων ῥεούσας καὶ τοὺς ῥοῦς οὐ διασκάψουσι τῷ ὕδατι οὐδὲ εἴρξουσι τὸ ὕδωρ οὐδὲ ἀπείρξουσιν· ἀνακαθαριοῦσι δὲ ὁσάκις ἂν δέηται τὰ παρὰ τὰ αὐτῶν χωρία ῥέοντα οὐδὲ τὰς ὁδοὺς τὰς ἀποδεδειγμένας λυμανοῦνται οὐδὲ συνείρξουσιν οὐδὲ κωλύσουσι πορεύεσθαι· ὅταν δέ τι τούτων ποιῶσι παρὰ τὴν συνθήκην, οἱ πολιανόμοι, οἱ ἀεὶ ἐπὶ τοῦ ἔτους, ἐπικαταβήσουσι καὶ ζημιώσουσιν ἄχρι οὗ ἂν ἀφομοιώσωσι κατὰ τὴν συνθήκην· οὐ κόψει δὲ τῶν δένδρων οὐδὲ θραύσει οὐδὲ πριώσει οὐδὲ εἷς οὐδὲ ἓν οὐδὲ ἄλλος ἐκείνῳ οὐδὲ γηλόφους θήσει ἐκτὸς τῶν ὑπαρχόντων, οὐδὲ χῶμα χώσει, εἰ μὴ ὅσ᾽ ἂν ἐν αὐτῇ τῇ γῇ, ᾗ μεμίσθωται, οἰκοδομῆται, οὐδὲ τοφιῶνας ἐν τῇ ἱερᾷ γῇ ποιήσει οὐδὲ ἄλλον ἐάσει· εἰ δὲ μή, ὑπεύθυνος ἔσται ὡς τὴν ἱερὰν γῆν ἀδικῶν· οἰκοδομήσεται δὲ καὶ οἰκίαν ἐν τοῖς χώροις τούτοις, βοῶνα, μυχὸν, ἀχυρῶνα· τὸν μὲν βοῶνα τὸ μὲν μῆκος εἴκοσι καὶ δύο ποδῶν, τὸ δὲ εὖρος ὀκτωκαίδεκα ποδῶν· τὸν δὲ ἀχυρῶνα μὴ μεῖον τὸ μὲν μῆκος ὀκτωκαίδεκα ποδῶν, τὸ δὲ εὖρος πεντεκαίδεκα ποδῶν, τὸν δὲ μυχὸν πεντεκαίδεκα ποδῶν· πάντα ταῦτα δὲ παρέξουσιν ᾠκοδομημένα καὶ στεγόμενα καὶ τεθυρωμένα ἐν τοῖς χρόνοις, ἐν οἷς καὶ τὰ δένδρα δεῖ πεφυτευκέναι· εἰ δὲ μή, κατεδικάσθησαν τοῦ μὲν βοῶνος ἓξ μνᾶς ἀργυρίου, τοῦ δὲ ἀχυρῶνος τέσσαρας μνᾶς ἀργυρίου, τοῦ δὲ μυχοῦ

τρεῖς μνᾶς ἀργυρίου· τῶν δὲ ξύλων τῶν ἐν τοῖς δρυμοῖς οὐδὲ τῶν ἐν τοῖς σκίροις οὐ πωλήσουσιν οὐδὲ κόψουσιν οὐδὲ ἐμπρήσουσιν, οὐδὲ ἄλλον ἐάσουσιν· εἰ δὲ μή, ὑπεύθυνοι ἔσονται κατὰ τὰς ῥήτρας καὶ κατὰ τὴν συνθήκην· εἰς δὲ τὰ ἐποίκια χρήσονται ξύλοις εἰς τὴν οἰκοδομήν, οἷς ἂν δὴ βούλωνται, καὶ εἰς τὰς ἀμπέλους· τῶν δὲ ξηρῶν κόψουσιν, ὅσα αὐτοῖς πρὸς οἰκίαν εἰς χρῆσιν· τοῖς δὲ σκίροις καὶ τοῖς δρυμοῖς χρήσονται οἱ μισθωσάμενοι ἀνὰ τὴν αὐτοῦ μερίδα ἕκαστος· ὅσαι δὲ ἂν τῶν ἀμπέλων ἢ τῶν δένδρων ἀπογηράσωσιν, ἀποκαταστήσουσιν οἱ καρπούμενοι, ὥστε εἶναι τὸν ἴσον ἀριθμὸν ἀεί· οὐχ ὑπογράψονται δὲ τοὺς χώρους τούτους οἱ μισθωσάμενοι, οὐδὲ τίμημα οἴσουσιν οὔτε τῶν χώρων οὔτε τῆς ἐποικοδομῆς, εἰ δὲ μή, ὑπεύθυνος ἔσται κατὰ τὰς ῥήτρας, εἰ δέ τις τῶν καρπουμένων ἄτεκνος ἄφωνος ἀποθάνοι, τῆς πόλεως πᾶσαν τὴν ἐπικαρπίαν εἶναι· εἰ δὲ ὑπὸ πολέμου οὕτω διατεθεῖεν, ὥστε μὴ ἐξεῖναι τοὺς μεμισθωμένους καρποῦσθαι, ἀνεῖσθαι τὴν μίσθωσιν, καθὰ οἱ Ἡρακλεῶται ἂν διαγνῶσι, καὶ μὴ εἶναι ὑπευθύνους μήτε αὐτοὺς μήτε τοὺς ἐγγυητὰς τῶν ἐν τῇ συνθήκῃ γεγραμμένων· τοὺς δὲ ἐγγυητὰς τοὺς ἀεὶ γενομένους προεγγυήσασθαι τῶν τε μισθωμάτων καὶ τῶν ἐπιζημιωμάτων καὶ τῶν ἀναπωλημάτων καὶ τῶν καταδικῶν καὶ αὐτοὺς καὶ τὰ χρήματα, ἃ ἂν ἐπιμαρτυρήσωσι, καὶ μὴ εἶναι μήτε ἄρνησιν μήτε παλινδικίαν μηδὲ κατ' ἄλλον μηδένα τρόπον πράγματα παρέχειν τῇ πόλει μηδὲ τοῖς ὑπὲρ τῆς πόλεως πράττουσιν· εἰ δὲ μή, ἀτελὲς εἶναι. ΔΕΥΤΕΡΟΣ. Ὁ δὲ τὸν δεύτερον μισθωσάμενος καρπώσεται ἀπὸ τῆς τριακονταπέδου τῆς διὰ τῶν τετρώρων ἀγοίσας ἐπὶ τὸν ἄντομον τὸν πρῶτον, ὅσος ἂν ᾖ, καὶ πράξει πάντα κατὰ τὴν συνθήκην, καὶ ὑπεύθυνος ἔσται καὶ αὐτὸς καὶ οἱ ἐγγυηταί, ὅ τι ἂν μὴ πράξῃ κατὰ τὴν συνθήκην. ΤΡΙΤΟΣ. Ὁ δὲ τὸν τρίτον χῶρον μισθωσάμενος καρπώσεται ἀπὸ τοῦ ἀντόμου τοῦ ἀνωτέρου τῆς τριακονταπέδου πρὸς τὸν ἄντομον τὸν δεύτερον ἀπὸ τῆς τριακονταπέδου· καὶ πράξει πάντα κατὰ τὴν συνθήκην, καὶ ὑπεύθυνος ἔσται καὶ αὐτὸς καὶ οἱ ἐγγυηταί, ὅ τι ἂν μὴ πράξῃ κατὰ τὴν συνθήκην. ΤΕΤΑΡΤΟΣ. Ὁ δὲ τὸν τέταρτον χῶρον μισθωσάμενος παρά τε τῶν πολιανόμων τῶν ἐπὶ Ἀριστίωνος ἐφόρου καὶ τῶν ὁριστῶν καὶ παρὰ τῶν πολιανόμων τῶν ἐπὶ Ἀριστάρχου τοῦ Ἡρακλείτου ἐφόρου, ⊦ΑΑΝΘΕΜΑ Φιλωνύμου τοῦ Φιλωνύμου, ⊦ΑΕΜΒΟΛΟΣ Ἡρακλείδα τοῦ Τιμοκράτους, καρπώσεται ἀπὸ τοῦ ἀντόμου τοῦ τρίτου ἀπὸ τῆς τριακονταπέδου ἐπὶ τὸν ἄντομον τὸν ὁρίζοντα τούς τε τοῦ Διονύσου χώρους καὶ ἃ Φιντίας ὁ Κρατίνου κέκτηται· ὁ

δὲ ἀνελόμενος ἐργάσεται τὰ μὲν ἄλλα κατὰ τὴν συνθήκην, καθ᾽ οὓς καὶ τοὺς λοιποὺς γέγραπται, τὰς δὲ ἀμπέλους τὰς ὑπαρχούσας ἐργάσεται ὡς βέλτιστα· ὅσαι δὲ ἂν τῶν ἀμπέλων ἀπογηράσκωσι, προσφυτεύσει, ὥστε ἀεὶ ὑπάρχειν τὸν ἴσον ἀριθμὸν τῶν σχοίνων τὸν νῦν ὑπάρχοντα, εἴκοσι τέτταρας σχοίνους, εἰ δὲ μή, προκαταδεδικάσθω δύο μνᾶς ἀργυρίου παρὰ τὴν σχοῖνον ἑκάστην, τὰς δὲ ἐλαίας καὶ τὰς συκίας καὶ τὰ ἄλλα δένδρα τὰ ἥμερα τὰ ὑπάρχοντα πάντα ἐν τῇ μερίδι ταύτῃ περισκάψει καὶ προσσκάψει τὰ δεόμενα· καὶ εἴ τινα γήρᾳ ἢ ἀνέμῳ ἐκπέσῃ, ἀποκαταστήσει μὴ μείω τὸν ἀριθμὸν τῶν ὑπαρχόντων, προσφυτεύσει δὲ καὶ ἐλαίας ἐν τῇ ψιλῇ, ὁμολόγως ποιῶν τοῖς ὑπάρχουσι δένδροις καὶ τὸν ἀριθμὸν τὸν ἴσον, καθὼς καὶ ἐν τῇ ἄλλῃ συνθήκῃ γέγραπται· ὅ τι δὲ ἂν μὴ πράξῃ ὁ ἀνελόμενος κατὰ τὴν συνθήκην, ἢ μὴ ἐν τοῖς χρόνοις τοῖς γεγραμμένοις, ὑπεύθυνος ἔσται τοῖς πολιανόμοις καὶ τοῖς σιταγέρταις τοῖς ἐπὶ τοῦ ἔτους, καθὼς καὶ ἐν τῇ ἄλλῃ συνθήκῃ γέγραπται· εἰ δὲ οἱ πολιανόμοι οἱ ἐπὶ τῶν ἐτῶν ὄντες μὴ πράξουσι κατὰ τὴν συνθήκην, αὐτοὶ ὑπεύθυνοι ἔσονται κατὰ τὴν συνθήκην. Ἐπὶ τούτοις ἐμισθώσαντο τήν τε πρώτην μίσθωσιν ἀπὸ τῶν τοῦ Ἡρῴδα· ΜΕΚΙΒΩΤΙΟΝ Βορμίων Φιλώτα πεντήκοντα ἑπτὰ μεδίμνων (καὶ) καδδίχου, ἐγγυητὴς τοῦ σώματος ΜΕΚΙΒΩΤΙΟΝ Ἀρκὰς Φιλώτα· τὴν δὲ δευτέραν μίσθωσιν ⊢ΑΕΜΒΟΛΟΣ Δήμαρχος Φιλωνύμου τετράκοντα μεδίμνων, ἐγγυητὴς τοῦ σώματος ..... Θεόδωρος Θεοδώρου· τὴν δὲ τρίτην μίσθωσιν ⊏ΕΓΥΙΟΝ Πεισίας Λεοντίσκου τριάκοντα πέντε μεδίμνων, ἐγγυητὴς τοῦ σώματος ΚΝΣΦΑΙΡΩΤΗΡΕΣ Ἀριστόδημος.... Τὴν δὲ τετάρτην μίσθωσιν ΑΛΛΟΥΤΗΡΙΟΝ Φίλιππος Φιλίππου διακοσίων ἑβδομήκοντα ὀκτὼ μεδίμνων· ἐγγυητὴς τοῦ σώματος ΠΕΚΗΡΥΚΕΙΟΝ Ἀπολλώνιος Ἡρακλείτου.

Γραμματεὺς ⊏ΕΓΥΙΟΝ Ἀριστόδημος Συμμάχου,

Γεωμέτρης Χαιρέας Δάμωνος Νεαπολίτης.

ϛ'.

ΚΑΙΣΥΜΠΟΜΠΕΥΕΙΝΑΓΕΙΝ
ΒΟΥΝΟΠΩΣΦΑΝΕΡΑΗΔΙΟΤΙΤΑΝ
ΤΕΣΥΓΓΕΝΕΙΑΝΚΑΙΦΙΛΙΑΝΩΦΛΕΙ
ΕΠΙΠΛΕΙΟΝΠΡΟΑΓΕΙΝ. ΕΔΟΞΕΤΑ
ΠΟΛΕΙΑΠΟΚΡΙΘΗΜΕΝΤΟΙΣΠΡΕΣΒΕΥ
ΤΑΙΣΔΙΟΤΙΑΠΟΛΙΣΤΩΝ ΕΡΜΙΟΝΕΩΝ
ΑΝΑΝΕΟΥΤΑΙΤΕΤΑΝΣΥΓΓΕΝΕΙΑΝΚΑΙ
ΦΙΛΙΑΝΤΑΝΥΠΑΡΧΟΥΣΑΝΤΑΠΟΛΕΙΠΟΤ
ΤΑΝΠΟΛΙΝΤΩΝΑΣΙΝΑΙΩΝΚΑΙΕΠΙ
ΠΛΕΙΟΝΠΡΟΑΞΕΤΑΙΚΑΙΔΙΟΤΙΑΠΟΔΕΧΕ
ΤΑΙΑΠΟΛΙΣΦΙΛΟΦΡΟΝΟΣΤΑΝΤΕΘΥ
ΣΙΑΝΑΝΜΕΛΛΕΙΑΓΕΙΝΑΠΟΛΙΣΤΩΝ
ΑΣΙΝΑΙΩΝΚΑΙΔΑΜΑΤΡΙΚΑΙΧΘΟΝΙΑΙ
ΚΑΤΑΣΤΑΣΑΙΔΕΚΑΙΘΕΑΡΟΔΟΚΟΝΟΣ
ΤΑΣΥΠΟΔΕΞΕΙΣΠΑΡΑΓΙΝΟΜΕ
ΝΟΥΣΣΥΝΘΥΤΑΣΕΠΙΤΑΝΘΥΣΙΑΝ
ΤΩΝ ..... ΧΘΟΝΕΙΩΝ .... ΕΔΕΚΑΙ
ΤΟΥΣΠΡΕΣΒΕΥΤΑΣΕΠΙΤΕΤΑΙΕΝΔΑ
ΜΙΑΙΚΑΙΤΕΑΝΑΣΤΡΟΦΑΕΠΟ
ΗΝΤΑΙΑΞΙΩΣΕΚΑΤΕΡΩΝΠΟΛΙΩΝ
ΔΟΜΕΝΔΕΚΑΙΞΕΝΙΑΤΟΙΣΠΡΕΣΒΕΥ
ΤΑΙΣΑΠΕΛΛΑ ..... ΤΑΜΕΓΙΣΤΑΕΚ
ΤΩΝΝΟΜΩΝΤΟΥΣΔΕΝΟΜΟΓΡΑΦΟΥΣ
.... ΤΑΣΤΑΘΕΝΤΑΣΚΑΤΑΧΩ
ΡΙΣΑΙΤΟΥΤΟΔΟΓΜΑΕΙΣΤΟΥΣ
ΔΑΜΙΟΥΡΓΟΥΣΤΟΥΣΕΠΙΛΑΙΛΑΙ
Γ ΙΟΜΕΝΣΤΑΛΑΝΚΑΙΑΝΑΓΡΑΨΑΙ
ΔΟΓΜΑΚΑΙΑΝΑΘΕΜΕΝΕΙΣΤΟΙΕΡΟΝΤΑΣ
ΔΑΜΑΤΡΟΣΤΑΣΧΘΟΝΙΑΣΟΠΩΣΥ
ΠΟΜΝΑΜΑΗΕΚΑΤΕΡ ΑΙΣΤΑΙΣΠΟΛΕ
ΣΙΝΕΙΣΑΠΑΝΤΑΤΟΝΧΡΟΝΟΝ. ΚΑΛΕ
ΣΑΙΔΕΤΟΥΣΑΡΧΟΝΤΑΣΕΠΙΤΑΝ
ΚΟΙΝΑΝΕΣΤΙΑΝΤΟΥΣΠΡΕΣΒΕΥΤΑΣ
ΟΣΑΣΚΑΑΜΕΡΑΣΕΠΙΔΑΜΩΝΤΙΤΟ
ΔΕΑΝΑΛΩΜΑΔΟΤΩΕΙΣΤΑΥΤΑΑΠΕ[ΛΑ
ΛΕΙΣΟΤΑΜΙΑΣΘΕΑΡΟΔΟΚΟΣΑΓΟΡΑΙ
ΣΟΣΠΡΑΞΙΑ .....

ΣΗΜΕΙΩΣΙΣ. Ἀπόσπασμα Δωρικῆς ἐπιγραφῆς, καθ' ἣν Ἑρμιονεῖς καὶ Ἀσιναῖοι, Δρύοπες ὄντες τὸ ἀρχαῖον, ἀνανεοῦνται τὴν πρὸς ἀλλήλους συγγένειάν τε καὶ φιλίαν. Καὶ οἱ μὲν Ἑρμιονεῖς τῶν Ἀργείων ἦσαν τότε· οἱ δὲ Ἀσιναῖοι ἐκπεπτώκεσαν ἤδη εἰς Μεσσηνίαν. Λέγοι δὲ ἂν κατὰ τὴν Ἀττικὴν φωνὴν τοιάδε·

Καὶ συμπομπεύειν (καὶ) ἄγειν βοῦν, ὅπως φανερὰ ᾖ, διότι τήν τε συγγένειαν καὶ φιλίαν θέλει ἐπὶ πλεῖον προάγειν· ἔδοξε τῷ δήμῳ ἀποκριθῆναι τοῖς πρεσβευταῖς, διότι ἡ πόλις

ϛʹ.

*Καὶ συμπομπεύειν [καὶ] ἄγειν
βοῦν, ὅπως φανερὰ ᾖ, διότι τάν
τε συγγένειαν καὶ φιλίαν θέλει
ἐπὶ πλεῖον προάγειν· ἔδοξε τᾷ
πόλει ἀποκριθῆμεν τοῖς πρεσβευ-
ταῖς, διότι ἁ πόλις τῶν Ἑρμιονέων
ἀνανεοῦταί τε τὰν συγγένειαν καὶ
φιλίαν τὰν ὑπάρχουσαν τᾷ πόλει ποτ-
τὰν πόλιν τῶν Ἀσιναίων καὶ ἐπὶ
πλεῖον προάξεται καὶ διότι ἀποδέχε-
ται ἁ πόλις φιλοφρόνως τάν τε θυ-
σίαν, ἅν μέλλει ἄγειν ἁ πόλις τῶν
Ἀσιναίων τᾷ Δάματρι τᾷ χθονίᾳ —
καταστᾶσαι δὲ καὶ θεαροδόκον, ὅσ-
τις ὑποδέξετ[αι] παραγινομένους [τοὺς]
συνθύτας ἐπὶ τὰν θυσίαν
τῶν . . . Χθονείων· [ἐπαινέσαι] δὲ καὶ
τοὺς πρεσβευτὰς ἐπί τε τᾷ ἐνδα-
μίᾳ καὶ τᾷ ἀναστροφ[ᾷ], ᾗ [π]επό-
ηνται ἀξίως ἑκατέρων τῶν πολίων·
δόμεν δὲ καὶ ξένια τοῖς πρεσβευ-
ταῖς Ἀπελλ[ᾶν τὸν ταμίαν] τὰ μέγιστα ἐκ
τῶν νόμων· τοὺς δὲ νομογράφους
[τοὺς κα]τασταθέντας καταχω-
ρίσαι τό[δε] τὸ δόγμα εἰς τοὺς
δαμιουργούς· τοὺς [δὲ] λαΐνα[ν
ἐ]γδόμεν στάλαν καὶ ἀναγράψαι
[τόδε τὸ] δόγμα καὶ ἀναθέμεν εἰς τὸ ἱερὸν τᾶς
Δάματρος τᾶς χθονίας, ὅπως ὑ-
πόμναμα ᾖ ἑκατέραις ταῖς πόλε-
σιν εἰς ἅπαντα τὸν χρόνον. Καλέ-
σαι δὲ καὶ τοὺς ἄρχοντας ἐπὶ τὰν
κοινὰν ἑστίαν τοὺς πρεσβευτὰς,
ὅσας κα ἁμέρας ἐπιδαμῶντι· τὸ
δὲ ἀνάλωμα δότω εἰς ταῦτα Ἀπελ-
λεῖς ὁ ταμίας· θεαροδόκος Ἀγόραι-
σος Πραξί[δος] . . . . .*

τῶν Ἑρμιονέων ἀνανεοῦταί τε τὴν συγγένειαν καὶ φιλίαν τὴν ὑπάρχουσαν τῇ πόλει πρὸς τὴν πόλιν τῶν Ἀσιναίων καὶ ἐπὶ πλεῖον προάξεται· καὶ διότι ἀποδέχεται ἡ πόλις φιλοφρόνως τήν τε θυσίαν, ἣν μέλλει ἄγειν ἡ πόλις τῶν Ἀσιναίων τῇ Δήμητρι τῇ Χθονίᾳ — καταστῆσαι δὲ καὶ θεωροδόκον, ὅστις ὑποδέξεται παραγιγνομένους τοὺς συνθύτας ἐπὶ τὴν θυσίαν τῶν Χθονείων· ἐπαινέσαι δὲ καὶ τοὺς πρεσβευτὰς ἐπί τε τῇ ἐνδημίᾳ καὶ τῇ ἀναστροφῇ, ᾗ πεποίηνται ἀξίως ἑκατέρων τῶν πό-

λεων· δοῦναι δὲ καὶ ξένια τοῖς πρεςβευταῖς Ἀπελλῆν τὸν ταμίαν τὰ μέγιστα ἐκ τῶν νόμων· τοὺς δὲ νομογράφους τοὺς καταστα θέντας καταχωρίσαι τόδε τὸ δόγμα εἰς τοὺς δημιουργούς· τοὺς δὲ λαΐνην ἐκδοῦναι στήλην καὶ ἀναγράψαι τόδε τὸ δόγμα καὶ ἀναθεῖναι εἰς τὸ ἱερὸν τῆς Δήμητρος τῆς Χθονίας, ὅπως ὑπόμνημα ᾖ ἑκατέραις ταῖς πόλεσιν εἰς ἅπαντα τὸν χρόνον· καλέσαι δὲ καὶ τοὺς ἄρχοντας ἐπὶ τὴν κοινὴν ἑστίαν τοὺς πρεςβευτάς, ὅσας ἂν ἡμέρας ἐπιδημῶσι· τὸ δὲ ἀνάλωμα δότω εἰς ταῦτα Ἀπελλῆς ὁ ταμίας· κτλ.

ΠΑΡΑΡΤΗΜΑ ΔΕΥΤΕΡΟΝ

ΠΕΡΙ ΠΡΟΣΩΙΔΙΑΣ ΚΑΙ ΤΩΝ ΠΡΩΤΩΝ ΣΤΟΙΧΕΙΩΝ ΤΗΣ ΜΕΤΡΙΚΗΣ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

ΠΕΡΙ ΠΡΟΣΩΙΔΙΑΣ).*

§. 1.

ΠΕΡΙ ΠΡΟΣΩΙΔΙΑΣ ΚΑΤΑ ΛΕΞΕΙΣ.

*Ἡ Γραμματικὴ δηλοῖ τὴν ποσότητα τῶν συλλαβῶν διὰ τῶν σημείων —, ⏑, ⏓, ἀπονέμουσα τὸ μὲν πρῶτον εἰς τὰς μακρὰς συλλαβὰς, τὸ δὲ δεύτερον εἰς τὰς βραχείας, καὶ τὸ τρίτον εἰς τὰς ἄλλοτε μὲν βραχείας, ἄλλοτε δὲ μακράς**).*

Α΄.

Μακρὰ εἶναι ἡ συλλαβὴ εἴτε φύσει εἴτε θέσει.

α΄) Καὶ φύσει μὲν μακρὰ εἶναι

1. *τὰ φωνήεντα η̄ καὶ ω̄, οἷον ἠώς·*
2. *ὅλαι αἱ δίφθογγοι, οἷον αἴγλη, εὐνή, οἶμος, ᾄδω·*
3. *τὰ ἐκ συναιρέσεως γινόμενα, οἷον ἱρός (ἐκ τοῦ ἱερός), ἄκων (ἐκ τοῦ ἀέκων), βότρῡς (ἐκ τοῦ βότρυας)***).*

**) Κατὰ μὲν τὸν ὁρισμὸν τῶν παλαιῶν γραμματικῶν περιλαμβάνει ἡ προσῳδία τὰ περὶ τόνων, πνευμάτων καὶ χρόνων. Καὶ τὸν μὲν τόνον διῄρουν εἰς προσῳδίαν ὀξεῖαν καὶ περισπωμένην καὶ βαρεῖαν· τὸ δὲ πνεῦμα εἰς προσῳδίαν ψιλὴν καὶ δασεῖαν· τὸν δὲ χρόνον εἰς χρόνον μακρὸν καὶ χρόνον βραχύν. Ἐκ τούτων γίνεται φανερὸν, ὅτι τὰ ὀνόματα τῶν τόνων καὶ πνευμάτων, ὀξεῖα, περισπωμένη, βαρεῖα, ψιλὴ, δασεῖα, ἐπίθετα ὄντα, ἔχουσιν ἐννοούμενον ἔξωθεν τὸ οὐσιαστικὸν προσῳδία. Εἰς ταῦτα προσετίθεντο καὶ τρία τῶν παθῶν λεγομένων, ἀπόστροφος, ὑφὲν, ὑποδιαστολὴ, καὶ οὕτω συνεπληροῦντο δέκα προσῳδίαι. Ἡμεῖς δὲ, πορευόμενοι τὴν τῶν νεωτέρων ὁδὸν, θεωροῦμεν τὴν προσῳδίαν ὡς τὴν περὶ τῆς ποσότητος τῶν συλλαβῶν διδασκαλίαν.*

***) Κακῶς ὀνομάζουσιν οἱ Γραμματικοὶ τὰς τοιαύτας συλλαβὰς διχρόνους.*

****) Εὑρίσκονται δέ τινες τούτου ἐξαιρέσεις, μάλιστα τῶν εἰς ᾱ ἢ ῑ ληγόντων ὀνομάτων, οἷον κρέᾰ (ἐκ τοῦ κρέατα, κρέαα), Κλέοβῐ (Ἀττικὴ ἐκ τοῦ Κλέοβις). Ἄλλως δὲ πρέπει νὰ διακριθῶσιν ἀπὸ ταύτης τῆς συναιρέσεως τὰ διὰ θλίψεως γινόμενα, οἷον ἀπάγω (ἐκ τοῦ ἀποάγω).*

β΄) Θέσει δὲ μακρὰ εἶναι ἡ συλλαβή, ὅταν μετὰ τὸ φωνῆεν ἀμέσως ἀκολουθῶσι δύο ἢ πλειότερα σύμφωνα ὁμοῦ, ἢ καὶ ἓν διπλοῦν, καθὼς αἱ παραλήγουσαι τῶν ἑξῆς λέξεων, λέγεσθαι, μέγιστος, καθέλκειν, νομίζειν, ἄψοῤῥος, βέλεμνον. — Ἄφωνον πρὸ ἀμεταβόλου τεθὲν δὲν κάμνει τὴν συλλαβὴν θέσει μακρὰν, οἷον ἄτεκνος, δίδραχμος, γενέθλη, ἔθνος, δύσποτμος, ἀλλὰ θεωροῦνται αὗται αἱ συλλαβαὶ ὡς βραχεῖαι. Οἱ δὲ ποιηταὶ μεταχειρίζονται αὐτὰς τοτὲ μὲν ἀντὶ μακρῶν, τοτὲ δὲ ἀντὶ βραχειῶν. Οὕτως εἰς τὸ τεκμαίρει ἡ πρώτη συλλαβὴ πολλάκις εἶναι μακρὰ, εἰς δὲ Πινδ. Ὀλ. 6, 123. βραχεῖα. Καὶ ἀτεχνῶς καὶ σχέτλιος ὡς ἐπὶ τὸ πολὺ ἔχουσι μακρὰν τὴν πρὸ χν καὶ τλ συλλαβὴν, εἰς δὲ Ἀριστοφ. Λυσιστρ. 552, 498. βραχεῖαν. Τὸ δὲ δρ καὶ τὸ κρ ὡς ἐπὶ τὸ πλεῖστον μακρύνουσι τὴν προηγουμένην συλλαβὴν, οἷον ἔφε̄δρος, Εὐριπ. Φοιν. 1130., δᾱ́κρυον, Εὐριπ. Ἰφιγ. Αὐλ. 497. — Πρέπει ὅμως νὰ ἐξετάσωμεν καλὰ τὸ προηγούμενον φωνῆεν, ἂν ἦναι τάχα φύσει μακρὸν, οἷον εἰς τὸ πένταθλος, ἐκ τοῦ ἆθλος (συνῃρημένου ἐκ τοῦ ἄεθλος), καὶ εἰς τὸ ψυχρός, παραγόμενον ἀπὸ τοῦ ψύχω, ἔχοντος τὸ ῡ φύσει μακρόν.

Ἐκ τοῦ κανόνος τούτου ἐξαιροῦνται τὰ μέσα Β Γ Δ, εὑρισκόμενα πρὸ τῶν τριῶν ἀμεταβόλων Λ Μ Ν. Ταῦτα κάμνουσι τὸ φωνῆεν θέσει μακρὸν, οἷον πέπλε̄γμαι, τετρᾱ́βιβλος, εἴο̄δμος*). Ἀντιτείνουσιν ὀλίγα παραδείγματα εἰς τὸν ἄλλως σταθερὸν κανόνα, οἷον μελιγλώσσοις (Αἰσχύλ. Προμηθ. 172.), ἔβλαστεν (Σοφ. Ἠλέκτρ. 440.). Σπάνια εἶναι καὶ τὰ παραδείγματα, κατὰ τὰ ὁποῖα ἐκλαμβάνονται ὡς βραχεῖαι καὶ αἱ πρὸ πτ, σκ, στ, μν συλλαβαὶ, οἷον·

Αἰγῠπτίης ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται (Ἰλ. ί. 382.).

Χαλκίδα τ' Εἰρετρίαν τε πολυστάφυλον θ' Ἵστίαιαν (Ὁμηρ. Ἰλ. 2, 537.).

Ἄνευ λύρας ὅμως ὑμνῳδεῖ (Αἰσχύλ. Ἀγαμ. 999.).

Β΄.

α΄) Ἐπειδὴ τὸ ε̄ καὶ ο̄ καθ' ἑαυτὰ εἶναι πάντοτε βραχέα, μένει νὰ διορίσωμεν περὶ τῶν ᾱ, ῑ, ῡ, τὰ ὁποῖα ἄλλοτε μὲν εἶναι μακρὰ, ἄλλοτε δὲ βραχέα. Περὶ τούτων ὡς ἐπὶ τὸ πολὺ ἐπικρατεῖ ἡ κατὰ κανόνα προσῳδία, ἐπειδὴ διορίζεται μάλιστα ἐκ τῆς χρήσεως τῶν ποιητῶν. Καὶ περὶ μὲν τῶν γραμματικῶν ἐσημειώσαμεν τινὰ καὶ ἀνωτέρω (ΓΡΑΜΜΑΤ.)· διὰ τοῦτο προϋποθέτομεν ὡς γνωστὰ ἐκ μὲν τοῦ §. 32. δ΄., ὅτι τῶν εἰς λ̄ μ̄ ν̄ ρ̄ ὁ α΄. Ἀόριστος ἔχει μακρὰν τὴν παραλήγουσαν, οἷον ἔτιλα· ἐκ δὲ τοῦ §. 22. 3. α΄., ὅτι τῶν εἰς ιων συγκριτικῶν τὸ ῑ κατὰ τοὺς Ἀττικοὺς εἶναι μακρόν· ἔτι δὲ ἐκ τοῦ §. 38. Β΄. γ΄. σημ., ὅτι τὸ ῡ εἶναι μακρὸν εἰς ἔφυν, ἔφυ, κα-

*) Ἀλλὰ βραχὺ εἶναι τὸ φωνῆεν εἰς τὰ Χαράδρα, Μελέαγρος, Μολοβρός.

θὼς καὶ εἰς τὸ δεικνῦς, ἐδείκνῡ (Παρβ. §. 31. Α'. ϛ'. σημ. ββ'.), ἐκ δὲ τοῦ §. 38. Γ'. β'., ὅτι τῶν β'. Παρακειμένων τὸ ἐν μέσῳ φωνῆεν εἶναι μακρὸν, οἷον πέφρῑκα, καὶ ἐκ τοῦ §. 31. Α'. ϛ'., ὅτι τῶν εἰς άσω, ίσω, ύσω Μελλόντων ἡ παραλήγουσα εἶναι βραχεῖα, καὶ ἐκ τοῦ §. 27. σημ. ββ'., ὅτι καὶ τὰ εἰς ασι Πληθ. γ'. πρόσωπα ἔχουσι μακρὸν τὸ ᾱ.

ββ') Συμβάλλουσι δὲ πολὺ καὶ οἱ τόνοι εἰς εὕρεσιν τῆς ποσότητος τούτων τῶν φωνηέντων, διότι καταλαμβάνομεν εὐθὺς π. χ. ἐκ τῆς ὀξείας εἰς λέξεις τοιαύτας, οἷον βάθρον, λίνον, ὅτι ἡ παραλήγουσα εἶναι βραχεῖα· ἀλλέως ἔπρεπε νὰ ἦναι περισπωμένη πρὸ τῆς βραχείας ληγούσης· ἐκ δὲ τοῦ τόνου τοιούτων λέξεων, πεῖρα, ἄρουρα, ὅτι ἡ λήγουσα εἶναι βραχεῖα· καὶ ἐκ τοῦ τῶν χώρα, Λήδα, ὅτι ἡ λήγουσα εἶναι μακρά. Ἐπειδὴ δὲ εὑρίσκονται ἐξαιρέσεις τινὲς, καλὸν νομίζομεν νὰ διαλάβωμεν τὰ ἀναγκαῖα περὶ τῆς ποσότητος τῶν ληκτικῶν τῆς Α'. καὶ Γ'. Κλίσεως συλλαβῶν.

ΠΡΩΤΗ ΚΛΙΣΙΣ. 1. Τὸ ληκτικὸν ᾱ τῶν ἐχόντων ης εἰς τὴν Γενικὴν εἶναι πάντοτε βραχὺ, τὸ δὲ ᾱ τῶν κλινόντων τὴν Γενικὴν εἰς ας ὡς ἐπὶ τὸ πλεῖστον μὲν εἶναι μακρὸν, ἐνίοτε δὲ καὶ βραχὺ, οἷον μάχαιρα, μοῖρα, καὶ ἄλλα γνωριζόμενα ἀσφαλῶς καὶ ἐκ τοῦ τόνου. Ὥστε δύναται νὰ διορισθῇ ὁ κανὼν, ὅτι ὅλα τὰ ὀξύτονα καὶ παροξύτονα τῆς Α'. Κλίσεως, ὅσα ἔχουσιν εἰς τὴν Γενικὴν ας, ἔχουσι τὸ ληκτικὸν τῆς Ὀνομαστικῆς ᾱ μακρὸν, ὡς στοά, χαρά, πέτρα, ἡμέρα, σοφία, πλὴν τοῦ μίᾰ.

2. Τῶν δὲ εἰς εια, τὰ μὲν δισύλλαβα ἔχουσι τὸ ᾱ μακρὸν, οἷον χρεία, τὰ δὲ περισσοτέρας ἔχοντα συλλαβὰς βραχὺ, οἷον ἀλήθεια, Μήδεια, γλυκεῖα, ἐκτὸς τῶν γινομένων ἀπὸ τῶν εἰς εύω ῥημάτων, οἷον δουλείᾱ, βασιλείᾱ. Τὸ δὲ βασίλεια (βασίλισσα) γίνεται ἐκ τοῦ βασιλεύς.

3. Τὰ εἰς ια προσηγορικὰ γυναικῶν, ἔχοντα τρεῖς ἢ καὶ περισσοτέρας συλλαβὰς, βραχύνουσι τὸ ληκτικὸν α, οἷον ψάλτρια, κιθαρίστρια, ποιήτρια, καὶ ἄλλα τοιαῦτα· ὁμοίως καὶ τὰ Ὁμηρικὰ πότνιᾰ, δῖᾰ· τῶν δὲ λοιπῶν θηλυκῶν ἐπιθέτων τὸ ᾱ εἶναι πάντοτε μακρὸν, οἷον κυρία.

4. Ἡ εἰς ᾱ τῶν εἰς ης ἀρσενικῶν Κλητικὴ ἔχει τὴν λήγουσαν βραχεῖαν, ὅθεν πολῖτα, ἡ δὲ τῶν εἰς ας μακρὰν, οἷον νεανία.

5. Ἡ μὲν εἰς ας κατάληξις εἶναι καθ' ὅλην τὴν Κλίσιν ταύτην μακρὰ, καὶ διὰ τοῦτο καὶ ἡ Αἰτιατικὴ Πληθ. διακρίνεται ἀπὸ τὴν τῆς Γ'. Κλίσεως, βραχεῖαν οὖσαν*). Ἡ δὲ εἰς αν Ἑνικοῦ Αἰτιατικὴ ἀκολουθεῖ τὴν Ὀνομαστικὴν κατὰ τὴν ποσότητα τοῦ ᾱ.

6. Μακρὰ διὰ παντὸς εἶναι ἡ εἰς ᾱ κατάληξις τοῦ Δυϊκοῦ.

---

*) Μόνον οἱ Δωριεῖς βραχύνουσι καὶ ταύτην τὴν τῆς Α'. Κλίσεως. Ἰδὲ ΠΑΡΑΡΤ. Α'. ΚΕΦΑΛ. Β'. §. 18. Σημ.

ΤΡΙΤΗ ΚΛΙΣΙΣ. 1. *Αἱ καταλήξεις ᾰ, ᾰς, ῐ εἰς ταύτην τὴν Κλίσιν εἶναι βραχεῖαι, ἐκτὸς τῆς Ἑνικοῦ καὶ Πληθ. Αἰτιατικῆς τῶν εἰς ευς ὀνομάτων, οἷον ἱερέᾱ, καὶ τῆς Ὀνομαστικῆς τῶν σχηματιζόντων αντος εἰς τὴν Γενικὴν, οἷον γίγᾱς, δράσᾱς.*

2. *Τὰ φωνήεντα ᾰ, ῐ, ῠ πρὸ τῆς ληγούσης τῆς Γενικῆς εἶναι βραχέα, πλὴν τῶν **γρᾱός, νᾱός** (ἐκ τοῦ γραῦς, ναῦς).*

3. *Τὰ οὐσιαστικὰ, τῶν ὁποίων ἡ Γενικὴ εἶναι ανος, ινος, **υνος**, ἔχουσι τὴν παραλήγουσαν μακρὰν, οἷον Πάν, Πᾱνός, Παιάν, Παιᾶνος, ῥίς, ῥῑνός, δελφίς, δελφῖνος, μόσυν, μόσῡνος· ἄλλως δὲ αὕτη ἡ συλλαβὴ εἶναι βραχεῖα· οἷον τάλᾱς, **τάλᾰνος, τίς, τῐνος.***

4. *Αἱ καταλήξεις τῆς Ὀνομαστικῆς τῶν εἰς τὴν Γενικὴν γ, δ, κ* **λαμβανόντων ὡς ἐπὶ τὸ πλεῖστον ἀκολουθοῦσι τὴν ποσότητα τῆς παραληγούσης εἰς τὴν Γενικὴν,** *ὅθεν ὄρνῐς, ὄρνῑθος, κηλῖς, κηλῖδος, δάγῡς, δάγῡδος, κώμῡς, κώμῡθος, φοίνιξ, φοίνῑκος, μάστιξ, μάστῑγος, τέττιξ, τέττῑγος, πέρδιξ, περδῖκος, κήρυξ, κήρῡκος, βόμβυξ, βόμβῡκος, κόκκυξ, κόκκῡγος, κήϋξ, κήϋκος, θώραξ, θώρᾱκος, καὶ οὕτως ἱέραξ, σύρφαξ, οἴαξ, βλάξ, Θρᾷξ, πλὴν τοῦ αὖλαξ, αὔλᾰκος.*

Σημειωτέον ἐνταῦθα τὸ ᾱ τῆς Γενικῆς φρέατος (ἐκ τοῦ φρέαρ), τὸ ὁποῖον εἰς μὲν τοὺς Ἀττικοὺς εἶναι μακρὸν, εἰς δὲ **τοὺς Ἐποποιοὺς βραχύ.**

5. *Αἱ μονοσύλλαβοι Ὀνομαστικαὶ, πλὴν τοῦ τίς, εἶναι μακραὶ, οἷον πῦρ (πῡρός), μῦς (μῡός), δρῦς (δρῡός).*

γ') Ἐκτὸς δὲ τούτων τῶν παρατηρήσεων πρέπει νὰ μάθωμεν τὰς ῥιζικὰς συλλαβὰς τῶν ἑφεξῆς·

1. *Ὀνόματα. Μακρὰν ἔχουσι τὴν παραλήγουσαν· ἀγή (αἰγιαλός, τὸ δὲ ἀγή, τουτ. θαυμασμὸς, βραχὺ), ἀήρ, ἀκρᾱτος, ἀνιᾱρός, αὐθάδης, ἀρή (ἀλλ' εἰς τοὺς Ἀττικοὺς ἀρά), δᾱνός, λᾱρός, λοχᾱγός, πᾱνός, σίνᾱπι, τιάρα, φᾱνός, φλύᾱρος, ἀκόνῑτον, ἀκριβής, ἀξίνη, ἐργαστίνη, ἐρῑθος, ἐνῑπή, ἴκτῖνος, ἴφθιμος, κάμινος, κύμῑνον, μυρίκη, ὅμῑλος, ὁπλίτης, πέδιλον, ῥητίνη, σέλινον, στρόβιλος, τάρῑχος, τεχνίτης, χαλινός, χελιδών· — ἄγκῡρα, αἰσχύνη, ἀμαρῡγή, ἀμύμων, ἄμῡνα (πρβ. κορύνη, τορύνη, εἰς τοὺς Ἀττικοὺς), γέφῡρα, εὐθύνη, εἰλῡός, ζύμη, ἰγνύη, ἰσχῡρός (ἐκ τοῦ ἰσχῡω, τὸ δὲ ὀχῠρός ἐκ τοῦ ἔχω), κέλῡφος, κίνδῡνος, κόλλῡρα, κρῡμός, λάφῡρον, λάγῡνος, λέπῡρος, λύμη, ὀλολῡγή, ὀλύρα, πίτῡρον, πρεσβύτης (ὅθεν θηλ. πρεσβῦτις), ψίμυθος.*

Ἔτι τὰ κύρια· Ἄμᾱσις, Ἀσιᾱνός, Ἄρᾱτος, Εὐφράτης, Λευκάτης, Νιφάτης, Σάρᾱπις Σπαρτιάτης, Στύμφᾱλος, Πρίᾱπος, Φάρσᾱλος, Αἴγῑνα, Ἀφροδίτη, Ἀμφιτρίτη, Βούσιρις, Γρανικός, Ἐνιπεύς, Εὐ-

ρῖπος, Ἴδη, Κάϊκος, Ὄσῖρις, Σίδων, Σέρῖφος, Τίρυνς, Ἄβῦδος, Ἀρχύτας, Βηρῦτός, Βιθῦνός, Διόνῦσος, Καμβύσης, Κέρκῦρα, Κωκῦτός, Λῦδός, Μῦρώ, Μῦσός, Πάχῦνον, Στρύμων, Τῦδεύς, Τῦρώ.

Σημείωσαι ἔτι καὶ τὰ ἑξῆς, μακρὰν ἔχοντα καὶ αὐτὰ τὴν παραλήγουσαν, ἥτις μένει καὶ εἰς τὰ σύνθετα μακρά, οἷον·

δίνη, κλίνη, κριθή, λιμός, λιτός, μικρός, μῖμος, νίκη, ῥινός, τιμή, ψιλός·

θῦμός, γρῦπός, κῦφός, λύπη, πῦρός (ὁ σῖτος), πῦγή, ῥῦμός, τῦρός, ὕλη, φῦλή, χῦλός (χῦμός), χρῦσός, ψῦχή.

2. Ῥήματα. Μακρὰν ἔχουσι τὴν παραλήγουσαν βρίθω, δῖφῶ, θλίβω, ῥῖγῶ, κῖνῶ, τρίβω, σῖγῶ, βρύκω, σῦλῶ, σύρω, τύφω, ψύχω. Ἐκ τῶν εἰς νω ῥηματικῶν καταλήξεων αἱ μὲν εἰς ίνω καὶ ύνω ἔχουσι μακρὰν τὴν παραλήγουσαν, οἷον κρίνω, βραδύνω, αἱ δὲ εἰς άνω βραχεῖαν, οἷον ἁμαρτάνω, λαμβάνω. Κατὰ δὲ τοὺς Ἐποποιοὺς μακρὰν ἔχουσιν αὐτὴν τὰ

ἄνω (ἄνομαι), φθάνω, ἱκάνω, κιχάνω.

Οἱ δὲ Ἀττικοὶ λαμβάνουσιν ὡς βραχεῖαν τὴν παραλήγουσαν τῶν φθάνω, κιχάνω, φθίνω, τίνω.

Τὰ δὲ ἀπὸ ῥημάτων παραγόμενα (οὐσιαστικὰ καὶ ἐπίθετα), ὅσα φυλάττουσι τὸν χαρακτῆρα τοῦ ῥήματος, δυνάμεθα νὰ τὰ ἐκλάβωμεν ὡς ἔχοντα τὴν αὐτὴν ποσότητα, ἣν ἔχουσι καὶ τὰ ἐξ ὧν παράγονται, ἐκτὸς ὅπου πληροφορούμεθα ἐκ τῆς χρήσεως τῶν ποιητῶν τὸ ἐναντίον, οἷον τρῐβή, διατρῐβή, ἀναψῠχή, παραψῠχή, εὐκρῐνής, ἀτρῐβής, παλιντρῐβής.

δ') Ἔτι μακρὰ εἰς ἀρχὴν ὑπερδισυλλάβων λέξεων εἶναι·

1. τὸ ᾱ, οἷον ᾱ̓έναος, ᾱ̓ΐδιος, ᾱ̓μητήρ, ᾱ̔́μητος, ᾱ̓ρητήρ, δρᾱπέτης, κάραβος.

ΣΗΜ. Τὸ στερητικὸν ᾰ εἶναι μὲν βραχὺ, ἀλλ' εἰς λέξεις περισσοτέρας ἐχούσας συλλαβὰς μακρύνεται, οἷον ᾱ̓κάματος, ᾱ̓θάνατος, ᾱ̓παράμῡθος.

2. τὸ ι, οἷον ῑ̓ατρός (ῑ̓ῶμαι), ῑ̔́λαος, ῑ̔́μερος, ῑ̓νίον, ῑ̓τέα, χίλιοι, καὶ τὰ κύρια· Ἴκαρος, Ἴναχος, Σῑκελία, Τίτυρος.

3. τὸ ῡ, οἷον θύλακος, μῡελός, μῡκᾶσθαι, μύραινα, πύελος, πῡετία, πῡραμίς.

Σημείωσαι ἔτι περὶ τῶν ἐπιῤῥηματικῶν καταλήξεων τὰ ἑξῆς·

1. Τὰ εἰς ᾰ ἐπιῤῥήματα καὶ τὰ ἀριθμητικὰ καὶ πᾶσα πρόθεσις καταλήγει εἰς α βραχὺ, οἷον σφόδρα, δέκᾰ, ἀνᾰ. Τὰ δὲ εἰς αν ἐπιῤῥήματα εἶναι μακρὰ, οἷον λίᾱν, ἄγᾱν.

2. Τὰ εἰς ῑ παράγωγα ἐπιῤῥήματα ἔχουσι μακρὸν τὸ ῑ, πάρεξ τῶν εἰς ιστι καὶ αστι, τὰ ὁποῖα βραχυκαταληκτοῦσιν, οἷον ὀνομαστί, ἀνδριστί. Καὶ εἰς μὲν τὸν Ὅμηρον ἀπαντῶνται

ἀναιμωτί, ἀνουτητί, ἐγρηγορτί. εἰς δὲ ἄλλους ποιητὰς ἄλλα λαμβάνονται ἄλλως, οἷον ἀστακτὶ (Σοφ. Οἰδ. Κολ. 1646.), ἀστακτὶ (αὐτόθ. 1251.) —

3. Τὰ εἰς ῑ ἐπιῤῥήματα βραχυκαταληκτοῦσι, πλὴν τοῦ ἀντικρύ, τὸ ὁποῖον λαμβάνεται καὶ μακρὸν καὶ βραχύ.

ε΄) Ὁ κανὼν, καθ᾽ ὃν λέγεται, ὅτι φωνῆεν πρὸ φωνήεντος εἶναι βραχὺ, εἶναι ἀβέβαιος. Μακρὰ συλλαβὴ πρὸ φωνήεντος εἶναι μὲν σπανιωτέρα ἢ πρὸ ἄλλου συμφώνου, καὶ ἐξαιρέτως πολλὰ τῶν εἰς ιος, ια, ιον εἶναι πάντοτε βραχέα. ἀλλὰ ἀνία, κονία, ταινία λαμβάνονται ὡς ἐπὶ τὸ πλεῖστον ἀντὶ μακρῶν, τὰ δὲ οἰκία, καλία, Ἀκαδημία, οὐδέποτε βραχύνουσι τὴν παραλήγουσαν. Ταύτην τὴν ἀδιοριστίαν μεταχειρίζονται ἐλευθέρως μάλιστα οἱ Ἐποποιοί, μακρύνοντες τὴν παραλήγουσαν τῶν ὀνομάτων εἰς ίη, οἷον ὑποδεξίη, ἀεργίη, ἱστίη, κακοεργίη. Παβ. Ἰλίου προπάροιθε. Ἰλ. ό. 66. Κρατεῖ δὲ αὕτη μάλιστα περὶ τῆς τοῦ Ἐνεστῶτος καταλήξεως τῶν εἰς νω καὶ ιω ῥημάτων, περὶ ὧν σημειοῦμεν τοῦτο μόνον, ὅτι πολλὰ, κυρίως ὅμως ἐκ τῶν ἐχόντων μακρὸν τὸ φωνῆεν εἰς τὸν Μέλλοντα, καὶ κατ᾽ Ἐνεστῶτα ἀντὶ μακρῶν λαμβάνονται ὑπὸ τῶν δραματοποιῶν, οἷον ἀλύω, δακρύω, δύω, θύω (ὁρμῶ), ἰσχύω, λύω, ξύω, μηνύω, τρύω, ὕω, φύω, κονίω, κυλίω, μηνίω, πρίω, χρίω. Εἰς δὲ τὰ ἄλλα τῆς ποιήσεως εἴδη τούτων καὶ τῶν λοιπῶν πολλὰ ἀσταθοῦσιν. Ὡς μακρὰ δὲ πρέπει ἰδιαιτέρως ἔτι νὰ σημειωθῶσιν λᾱός, νᾱός, κάω, κλάω (καίω, κλαίω), καὶ αἱ παραλήγουσαι τῶν· Ἀμυθάων, Ἀμφιάρᾱος, Ἀμφίων, Ἐνύω, Παρθάων, πλὴν Οἰνόμᾰος καὶ τῶν πλειοτέρων ὑπερδισυλλάβων εἰς ίων, οἷον Εὐρυτίων, Δευκαλίων.

ϛ΄) Αὕτη ἡ ἀοριστία τῆς ποσότητος φωνήεντος πρὸ ἄλλου φωνήεντος φαίνεται καὶ ἐκ τούτου, ὅτι εἰς τὸ μέσον τῆς λέξεως καὶ δίφθογγοι πρὸ φωνήεντος συστέλλονται. Οὕτως εἰς τοὺς Ἀττικοὺς ποιητὰς εὑρίσκονται ποιῶ, οἴει, ποῖος, οἷος, τοιοῦτος, δείλαιος· καὶ πρὸ τοῦ δεικτικοῦ ῑ συστέλλονται δίφθογγοι καὶ μακρὰ φωνήεντα πάντοτε, ὡς εἰς τὰ αὑτᾰΐ, αὑτηΐ.

ζ΄) Τῆς ποιητικῆς ἀδείας εἶναι ἡ εἰς τοὺς Ἐποποιοὺς εὑρισκομένη ἔκτασις βραχείας καὶ συστολὴ μακρᾶς συλλαβῆς, εἰς τὸ ὁποῖον συνεργεῖ πολὺ ὁ τόνος, οἷον ἔϊες (Ὀδύσσ. ί. 425.), ἀρῶμεναι (Ἡσίοδ. ἔργ. 22.), ζευγνῦμεν (Ἰλ. π΄. 145.), ὄφιν (Ἰλ. μ΄. 208.). Καὶ ἐπὶ μὲν ὀξυτόνων ἡ παραλήγουσα συστέλλεται ἐκβαλλομένου συμφώνου, οἷον Ἀχιλεύς, Ὀδυσεύς, ἐπείη, ἐπὶ δὲ προπαροξυτόνων, μάλιστα εἰς τὰς Ἐνεργητ. καὶ Παθητ. Ὑποτακτικὰς, ὅταν ὁ τόνος πέσῃ εἰς μακρὰν συλλαβὴν, ἡ παραλήγουσα συστέλλεται κατὰ Γενικοὺς κανόνας, οἷον βούλεται (ἀντὶ τοῦ βούληται), ἀγείρομεν (ἀντὶ τοῦ ἀγείρωμεν)· ὅθεν καὶ οἱ συνήθεις σχηματισμοὶ τῶν Ἐπικῶν Ὑποτακτικῶν. (ἰδὲ ΠΑΡΑΡΤ. Α΄. ΚΕΦΑΛ. Α΄. §. 18. ΕΠΙΚ. Α΄. α΄.). Σπανίως ἀπαντᾶται ἡ ἄδεια αὕτη, ὅπου ἡ προηγουμένη, τουτ. ἡ τρίτη ἀπὸ τέλους συλλαβὴ, ἦναι βραχεῖα, οἷον εἰς ἵππους ἀλέηται (Ἰλ. λ΄. 192.), ἢ ἐπὶ τελευταίας μακρᾶς συλλαβῆς, οἷον ἕως (Ἰλ. ά. 193.), ὡς ἂν ἦτο εἷος.

§. 2.

ΠΕΡΙ ΠΡΟΣΩΔΙΑΣ ΚΑΤΑ ΣΥΝΤΑΞΙΝ.

α') Ἡ θέσει μακρὰ συλλαβὴ φυλάττεται καὶ ὅταν τὰ δύο σύμφωνα δὲν εὑρίσκωνται εἰς τὴν αὐτὴν λέξιν. Καὶ ὅταν μὲν τὰ δύο σύμφωνα ἦναι μοιρασμένα εἰς δύο λέξεις, τὸ μάκρος εἶναι χωρὶς ἐξαιρέσεως, οἷον φίλον τέκος, ὅταν δὲ εὑρίσκωνται εἰς τὴν ἀρχὴν τῆς ἑπομένης λέξεως, εἶναι κανονικὸν τὸ μάκρος, ὡς αὐτε Τρῶες, τέκετο Ζεύς, κατὰ κρατερὸν περ ἐρύκει (Ἰλ. φ'. 2. 63.). Ἀξιομνημόνευτον παράδειγμα τοῦ ἐναντίου εἶναι τὸ Ὁμηρ. οἱ δὲ Ζέλειαν ἔναιον (Ἰλ. β'. 824.), πρβ. Ἰλ. β'. 634., Ἡσίοδ. ἔργ. 587. Ἀκριβέστερα φυλάττουσι τὸ τοιοῦτον μάκρος οἱ Ἀττικοὶ ποιηταί, ἐκτὸς ὅτι εἰς ἄφωνον πρὸ ἀμεταβόλου λαμβάνουσιν ἐνίοτε καὶ βραχεῖαν τὴν συλλαβήν, οἷον γυναικὰ γλώσσης (Εὐριπ. Ἠλεκτρ. 1021.), παιδὸς δὲ βλάσται (Σοφ. Οἰδ. Τύρ. 717.).

β') Μακρύνονται δὲ τὰ βραχέα καὶ ὅταν ἡ ἐφεξῆς λέξις ἄρχηται ἀπὸ ἀμεταβόλου· διότι τοῦτο εἰς τὴν ἐκφώνησιν εὐκόλως διπλασιάζεται, οἷον Ἥρη δὲ μάστιγι (Ἰλ. ε'. 748.), ἅμα δὲ νέφος εἵπετο (Ἰλ. δ'. 274.). Τὸ δὲ ρ εἰς τοιαύτας περιπτώσεις ἔχει τοσαύτην δύναμιν, ὥστε ὄχι μόνον οἱ Ἐποποιοί, ἀλλὰ καὶ οἱ Ἀττικοὶ ποιηταὶ τὴν πρὸ αὐτοῦ βραχεῖαν συλλαβὴν μεταχειρίζονται μακράν, οἷον προσώπου τὰ ῥάκη (Ἀριστοφ. Πλοῦτ. 1055.).

γ') Μακρύνονται τὰ βραχέα καὶ κατὰ τὴν ἄρσιν. Δηλαδὴ ἄρσις λέγεται ἐκεῖνο τὸ μέρος τοῦ ῥυθμικοῦ ποδός, εἰς τὸ ὁποῖον πίπτει ὁ τόνος ἢ τὸ κτύπημα τοῦ ῥυθμοῦ μετὰ φθόγγου ὑψηλοτέρου, τὰ δὲ ἄλλα μέρη λέγονται θέσεις, οἷον ´ —, ´ ◡ ◡. Αὕτη λοιπὸν ἡ ἄρσις δύναται νὰ ὑψώσῃ βραχεῖαν συλλαβὴν εἰς μακράν, οἷον φίλε κασίγνητε κόμισαι (Ἰλ. ε'. 359.), καὶ Ἱππομέδοντος σχῆμα καὶ μέγας τύπος (Αἰσχύλ. Ἑπτὰ ἐπὶ Θήβ. 494.). Συχνότερα δὲ εἶναι τοιαύτη ἔκτασις εἰς τοὺς Ἐποποιούς, συμπιπτούσης ὁμοῦ καὶ τῆς κατὰ θέσιν ἐκτάσεως, οἷον ὅτι ῥα θνήσκοντας ὁρᾶτο (Ἰλ. α'. 56.), ἢ ἑπομένης μιᾶς τῶν λέξεων ἐκείνων, αἵτινες εἶχον τὸ δίγαμμα (ἰδὲ ΠΑΡΑΡΤ. Α'. ΚΕΦΑΛ. Β'. §. 1.), οἷον θυγατέρα ἣν (Ἰλ.), τέκεϊ ᾧ (Ἰλ. ω'. 36.).

Κατὰ τοῦτον τὸν τρόπον ἐκτείνονται εἰς τοὺς Ἐποποιοὺς Ἀπόλλων, οἷον· οὐ μὰ γὰρ Ἀπόλλωνα (Ἰλ. α'. 86.), Ἄρης, οἷον· Ἆρες, Ἄρες βροτολοιγέ (Ἰλ. ε'. 31.), καὶ ἀνήρ (Ἰλ. β'. 553.), ἔτι αἱ λέξεις ἐπίτονος (Ὀδ. μ'. 423.), ἀποπέσῃσι (Ὀδύσσ. ω'. 7), ἀποδίωμαι (Ἰλ. ε'. 763.), ἀπονέεσθαι (Ἰλ. ξ'. 46.), ἐπειδή (Ἰλ. ψ'. 2.), καὶ ἐξηγεῖται δὲ ἐκ ταύτης τῆς συνηθείας ἡ ἔκτασις

τῶν· ἀνέφελος (Ὀδύσσ. ζ'. 45.), *ἀπάλαμος* (Ἡσίοδ. ἔργ. 20.). Παρβ. §. 1. Β'. δ'.

δ') *Συνεχομένων δὲ φωνηέντων, ὅταν τὸ εἰς τὸ τέλος τῆς πρώτης λέξεως ἦναι μακρὸν ἢ δίφθογγος, δὲν πρέπει νὰ ἐκλαμβάνηται εἰς τοὺς Ἐποποιοὺς ὡς χασμωδία. Λαμβάνεται δὲ εἰς αὐτοὺς κοινῶς ἀντὶ βραχέος, οἷον· εἰπὲ καὶ ἡμῖν, ἔπλευ ἄριστος, ἔσσεται ἄλγος. Κατὰ δὲ τὴν ἄρσιν ἡ τοιαύτη συλλαβὴ φυλάττει τὸν οἰκεῖον χρόνον, οἷον ἀντιθέῳ Ὀδυσῆϊ, ἄλλοτε δὲ σπανίως. — Τῶν δὲ βραχέων φωνηέντων ὅσα δὲν δέχονται ἀπόστροφον, οἷον παιδὶ ἄμυνεν* (Ἰλ. π'. 522.), *δὲν ἐπιφέρουσι χασμωδίαν ἐπίμομφον. Ὁμοίως ὅταν παρεμπίπτῃ στιγμὴ, οἷον ἀλλ' ἄνα, εἰ μέμονάς γε* (Ἰλ. ι'. 247.), *ἢ ἐὰν ἡ πρώτη λέξις πίπτῃ εἰς τὴν τομὴν τοῦ στίχου* (ἰδὲ ΚΕΦΑΛ. Β'. §. 5.), *δὲν ἐκλαμβάνεται οὐδὲ τοῦτο ὡς ψόγου ἄξιον. Ἐκτὸς δὲ τούτων τὸ δίγαμμα ἀφαιρεῖ τὸ πλεῖστον μέρος τῶν εἰς τὸν Ὅμηρον φαινομένων χασμωδιῶν. Οἱ δὲ Ἀττικοὶ ποιηταὶ ἀποφεύγουσι τὴν χασμωδίαν ἐπιμελῶς, ἐξαιρουμένου τοῦ τί οὖν; καὶ τῶν περί, ὅτι, οὐδὲ εἷς, καὶ τῆς περὶ δακτυλικοὺς καὶ ἀναπαιστικοὺς στίχους ἐλευθερίας, οἷον Εὐρ. Ἑκάβ. 125. τὼ Θησείδα δ', ὄζω Ἀθηνῶν. Μεταχειρίζονται δὲ πρὸς ἀποφυγὴν τῆς χασμωδίας, καθὼς εἴρηται καὶ ἀνωτέρω* (ΓΡΑΜΜΑΤ. §. 6. Γ'.), *ἀπόστροφον, κρᾶσιν, ἔκθλιψιν* *).

ε') *Ἔτι προσήκει νὰ μνημονεύσωμεν, ὅτι τὰ εἰς μίαν λέξιν ἀσυναιρέτως εὑρισκόμενα δύο φωνήεντα προφέρουσιν οἱ Ἐποποιοὶ ἀντὶ ἑνὸς, ὀνομάζεται δὲ τοῦτο συνίζησις ἢ συνεκφώνησις.* —

Συχνότατα ἀποτελεῖ συνίζησιν τὸ ε̄, καὶ μάλιστα

1. *μὲ τὸ ᾱ, οἷον στήθεα* (Ἰλ. λ'. 282.), *ἔᾱ* (Ἰλ. ε'. 256.), *γνώσεαι* (Ἰλ. β'. 367.), *πολέας* (Ἰλ. ο'. 66.).

2. *μὲ τὸ ο̄, οἷον ἄφρεον* (Ἰλ. λ'. 282.), *θεοί* (Ἰλ. α'. 18.), *χρυσέον* (Ἰλ. β'. 268.), *καὶ ὁμοίως μὲ τὸ ω̄, χρυσέῳ* (Ἰλ. α'. 15.), *μεμνέωτο* (Ἰλ. ψ'. 361.).

Εὑρίσκεται καὶ ἐπὶ τοῦ ᾱ, ῑ, ῡ, οἷον πόλιος (Ἰλ. β'. 811.), *ἀεθλεύων* (Ἰλ. ω'. 734.), *δακρύοισι* (Ὀδ. σ'. 173.). *Καὶ μακρὰ δὲ φωνήεντα καὶ δίφθογγοι ἀποτελοῦσιν ἐνίοτε συνίζησιν, οἷον Ἐνυαλίῳ* (Ἰλ. η'. 166.).

Συμβαίνει δὲ ἡ συνίζησις καὶ ἐπὶ δύο λέξεων, ἐξ ὧν ἡ μὲν λήγει εἰς μακρὸν, ἡ δ' ἑτέρα ἄρχεται ἢ ἀπὸ βραχέος ἢ ἀπὸ μακροῦ.

---

*) *Οἷον· ἔνθα δὴ πλεῖστοι 'θανον (ἀντὶ τοῦ ἔθανον), Αἰσχύλ. Πέρσ. Ἡ Ἑνικοῦ Δοτικὴ τῆς τρίτης Κλίσεως δὲν δέχεται ἀπόστροφον. Ἀλλ' ἅπαξ ἀπαντᾶται καὶ ἡ ἐντεῦθεν γενομένη χασμωδία, οἷον Αἰσχύλ. Πέρσ. 852. ἐναντιάζειν παιδὶ ἐμῷ πειράσομαι. Ἄλλως δὲ ἡ ποίησις ἀποβάλλει δι' ἀποστρόφου καὶ τὴν δίφθογγον αι τοῦ Παθητ. εἰς σθαι Ἀπαρεμφάτου.*

Καὶ εἰς μὲν τὸν Ὅμηρον ἀπαντᾶται ἐπὶ τῶν λέξεων ἢ, ἤ, δή, μή, καὶ εἰς τὰς καταλήξεις ῶ καὶ η̄, οἷον ἐπεὶ οὐδ' (Ἰλ. ν'. 777.), ἢ οὐχ (Ἰλ. ε'. 349.), πρβ. Ὀδ. δ'. 682. δὴ ἀφνειότατος (Ἰλ. υ'. 220.), μὴ ἄλλοι (Ὀδ. δ'. 165.), ἀσβέστῳ οὐδ' υἱόν (Ἰλ. ρ'. 89.), εἰλαπίνη ἠὲ γάμος (Ὀδυσσ. α'. 226.). Τραχυτέρα εἶναι ἡ συνίζησις εἰς τὸ θέρει ἀργαλέῃ οὐδέποτ' ἐσθλῇ (Ἡσίοδ. ἔργ. 640.)*). Ἀνήκουσι δὲ εἰς τοῦτο τὸ σχῆμα, ὅσα ἠθέλησαν τινὲς νὰ ἐξηγῶσι κατ' ἀφαίρεσιν, οἷον δὴ ἔπειτα (Ἰλ. ο'. 163., υ'. 338., Ὀδύσσ. α'. 290.).

Εἰς δὲ τοὺς Ἀττικοὺς ποιητὰς ἡ συνίζησις συμβαίνει εἰς τὸ θεός καὶ εἰς κύρια τινὰ ὀνόματα, οἷον Νεοπτόλεμος, μάλιστα δὲ μεταξὺ δύο λέξεων, οἷον· μὴ εἰδέναι, μὴ οὐ, ἢ οὐ, μὴ ἀλλά (Ἀριστοφ. Βατρ. 751.), ἐπεὶ οὐ (Σοφ. Φιλοκτ. 446.).

---

*) Εἰς τὸν Πίνδαρον ἀπαντᾶται ἡ συνίζησις συχνότατα κατὰ τὸ μέσον λέξεως, καὶ ἐκτὸς τῶν ἀνωτέρω παρατηρηθέντων περὶ Ὁμηρικῆς χρήσεως προσέτι εἰς τὰς συλλαβὰς αι, αο, αος. Τοῦ δὲ Θεοκρίτου ἡ συνίζησις περιορίζεται εἰς τὴν συλλαβὴν εω, κειμένην ἐν μέσῳ λέξεως.

ΚΕΦΑΛΑΙΟΝ Β'.

ΠΕΡΙ ΜΕΤΡΙΚΗΣ.

§. 1.

α') Συνίσταται τὸ μέτρον ὁμοῦ μετὰ ῥυθμοῦ. Ὁ δὲ ῥυθμὸς ἀνελίττεται ἤτοι κατ' ἄρτιον σχηματισμὸν, ἢ κατὰ περιττόν. Καὶ τοῦ μὲν πρώτου εἴδους εἶναι τὸ ἄρτιον μέτρον, παριστάνον εἰς μὲν τὴν πρώτην ἀνάπτυξιν τὸν καθ' ἡμᾶς ῥυθμὸν [2], καὶ ἔχον τοὺς τέσσαρας σχηματισμούς,

´ —, σπονδεῖος (ποῦς),
´ ◡ ◡, δάκτυλος —
◡ ◡ —, ἀντιδάκτυλος —
◡ ◡ ◡ ◡, προκελευσματικός —

εἰς δὲ τὴν δευτέραν ἀνάπτυξιν τὸν καθ' ἡμᾶς ῥυθμὸν [6], καὶ ἔχον τοὺς ὀκτὼ σχηματισμούς,

´ —,
— ´ ◡ ◡, παιὼν πρῶτος,
— ´ ◡ ◡, ἰωνικός,
— ´ ◡, βακχεῖος,
◡ ◡ ◡ —, παιὼν δεύτερος,
´ — ◡ —, χορίαμβος,
´ ◡ —, κρητικός,
´ ◡ ´ ◡, τροχαϊκὴ διποδία.

β') Τοῦ δὲ δευτέρου εἴδους εἶναι τὸ περιττὸν, τὸ ὁποῖον, ἔχον τρεῖς κυρίους τόνους, δύναται νὰ ἀναλυθῇ εἰς ἕξ (³⁴). οἷον

—́ — —, μολοσσός,
—́ — ⏑ ⏑, ἰωνικός,
—́ ⏑ ⏑ —, χορίαμβος.

Καὶ τοῦτο μὲν τὸ μέτρον εἶναι βαρὺ, καὶ εὑρίσκεται σπανίως. Ἀναπτύσσεται δὲ καὶ ἐλαφρῶς, οἷον

—́ ⏑ ⏑, τρίβραχυς,
—́ ⏑, τροχαῖος,
—́ ⏑ ⏑, δάκτυλος (ἐλαφρός).

§. 2.

ΠΕΡΙ ΜΕΤΡΙΚΩΝ ΚΑΙ ΡΥΘΜΙΚΩΝ ΠΕΡΙΟΔΩΝ.

α') Καθ' ὅσον λοιπὸν ἕκαστος τῶν ῥυθμικῶν σχηματισμῶν, τοὺς ὁποίους διελάβομεν μετρικῶς, συμπληροῖ μετρικὴν περίοδον, εἶναι ὅλοι ἴσοι πρὸς ἀλλήλους. Οὕτως ὁ βαρὺς δάκτυλος — ⏑ ⏑, καὶ ὁ βακχεῖος —́ — ⏑, καὶ ἡ τροχαϊκὴ διποδία — ⏑ — ⏑, συμπληροῦσι μίαν ἕκαστον μετρικὴν περίοδον. Ἐκ τούτου γίνεται φανερὸν, διὰ τί δακτυλικοὶ μὲν ῥυθμοὶ μετροῦνται κατὰ μονοποδίας, τροχαϊκοὶ δὲ κατὰ διποδίας. Καὶ δύο μὲν διποδίαι ὀνομάζονται δίμετρον, τρεῖς δὲ τρίμετρον.

β') Ἑκάστη μετρικὴ περίοδος ἄρχεται μὲν ἀπὸ ἄρσεως, λήγει δὲ εἰς θέσιν. Ἡ δὲ θέσις ἐνίοτε δὲν ἀναπτύσσεται ῥυθμικῶς, οἷον εἰς τὸν κρητικὸν —́ ⏑ —, εἰς τὸν χορίαμβον —́ ⏑ ⏑ —, εἰς τὸν τέταρτον παιῶνα, —́ ⏑ ⏑ —. Ἄλλως δὲ ἡ λείπουσα θέσις ἀναπληροῦται κατὰ τὴν μουσικὴν διὰ τοῦ λείμματος, οἷον

τίς ποτ' ὠνόμαζεν ὧδ'
εἰς τὸ πᾶν ἐτητύμως

— ⏑ — ⏑ | — ⏑ —
— ⏑ — ⏑ | — ⏑ —

γ') Φανερὸν δὲ ἤδη ἐκ τούτων, ὅτι εὑρίσκονται ῥυθμικοὶ σχηματισμοὶ, οἵτινες δὲν εἶναι ἐνταὐτῷ καὶ μετρικοὶ, οἷον ὁ χορίαμβος ἀναφαίνεται ῥυθμικῶς εἰς περίοδον, ὅπου μετρικὸς σχηματισμὸς εἶναι ὁ ἀπ' ἐλάσσονος ἰωνικός·

— — ⏑ ⏑ — — ⏑ ⏑ —

καὶ ἀνάπαλιν ὁ ἰωνικὸς σχηματισμὸς δύναται νὰ φανῇ ῥυθμικὸς, ὅπου ὁ χορίαμβος εἶναι μετρικὸς, οἷον



§. 3.
ΠΕΡΙ ΑΝΑΚΡΟΥΣΕΩΣ.

α') Ἡ ἀρχὴ τοῦ ῥυθμοῦ γίνεται ἤτοι ἀπὸ ἄρσεως, τουτέστιν ἀπὸ τοῦ μάκρους τοῦ κυρίου τόνου, ἢ ἀπὸ ἀνακρούσεως, τῆς ὁποίας τὸ μάκρος δὲν ἀνεπτύχθη, οἷον



Καὶ αὕτη μὲν ἡ ἀνάκρουσις ὀνομάζεται ἁπλῆ· δύναται δὲ νὰ ἦναι καὶ τρίχρονος, οἷον



καὶ τότε ὀνομάζεται συνθεμένη. Ἡ δὲ συνθεμένη ἀνάκρουσις ἀνήκει τότε εἰς τοὺς σχηματισμοὺς τῆς ἐλαφρᾶς ἀναπτύξεως τοῦ περιττοῦ μέτρου, ὅθεν καὶ λαμβάνει τὰς μορφὰς



β') Εἰς μὲν τὸ ἄρτιον μέτρον κατὰ τὴν πρώτην ἀνάπτυξιν ἐκ τοῦ δακτυλικοῦ σχηματισμοῦ γίνεται διὰ ἀνακρούσεως δύο βραχέων ὁ ἀναπαιστικός



Ἐπειδὴ δὲ ἡ ἀνάκρουσις αὕτη κυρίως εἶναι θέσις τοῦ σπονδείου, λαμβάνει καὶ τοῦτον τὸν σχηματισμὸν




καὶ διαλυομένου τοῦ μάκρους τοῦ δακτύλου



ἐκ τοῦ ὁποίου ἀναφαίνεται ὁ προκελευσματικὸς (◡ ◡ ◡ ◡).

γ') Εἰς δὲ τὸ μικτὸν μέτρον τὸ κατὰ τὴν δευτέραν ἀνάπτυξιν γινόμενον ἐκ τῆς τροχαϊκῆς διποδίας σχηματίζεται ἡ ἰαμβικὴ διὰ τῆς μονοχρόνου ἀνακρούσεως,



Καὶ ἐπειδὴ κατὰ μουσικὴν μέτρησιν ἡ ἀξία τῆς ἀνακρούσεως ἀφαιρεῖται εἰς τὸ τέλος τοῦ ῥυθμοῦ, λαμβάνομεν οὕτω τὸν τραγικὸν τρίμετρον, ὡς ἑξῆς·



Ἐκ ἐκ μὲν τοῦ ἐλαφροῦ ἰωνικοῦ ἀπὸ μείζονος σχηματίζεται οὕτως ὁ ἀντισπαστικὸς καλούμενος



ἐκ δὲ τοῦ βακχείου ὁ παλιμβάκχειος

⏑ | ⏒ —

ἐκ δὲ τοῦ ἐλαφροῦ χοριαμβικοῦ ὁ ἐλαφρὸς ἀναπαιστικὸς

⏑ ⏑ | ⏒ ⏑ ⏑

§. 4.

ΠΕΡΙ ΤΟΥ ΤΕΛΟΥΣ ΤΟΥ ΡΥΘΜΟΥ.

Τὸ δὲ τέλος τῶν ῥυθμῶν ἤτοι κατ' ἄρσιν γίνεται, οἷον — ⏑ ⏑ ⏒, ἢ κατὰ θέσιν, οἷον — ⏑ — ⏑, ἢ εἶναι ἐκκρεμὴς, οἷον ⏒ ⏑ ⏑ ⏒ ⏑ ⏑. [Καὶ κατὰ τοὺς Γραμματικοὺς στίχος ἀκατάληκτος λέγεται, ὅταν ἔχῃ ὁλόκληρον τὸν τελευταῖον πόδα, οἷον — ⏑ — ⏑ | — ⏑ — ⏑, καταληκτικὸς δὲ, ὅταν ἐλλείπῃ ὁ τελευταῖος ποὺς κατὰ μίαν ἢ δύο συλλαβὰς, οἷον — ⏑ — ⏑ | — ⏑ —, βραχυκατάληκτος, ὅταν πλεονάζωσι δύο συλλαβαὶ εἰς τὸ τέλος, οἷον — ⏑ — ⏑ | — ⏑, ὑπερκατάληκτος δὲ, ὅταν πλεονάζῃ μία συλλαβὴ, — ⏑ — ⏑ | — ⏑ — ⏑ | —].

§. 5.

ΠΕΡΙ ΤΟΜΗΣ.

Ὁρίζοντες λοιπὸν τὸν στίχον ὡς συμπλοκὴν ῥυθμῶν εἰς ἕν τι ὅλον, μετρούμενον κατὰ μετρικὰς περιόδους, θέλομεν εὕρῃν, ὅτι δὲν δύναται νὰ ἐκληφθῇ ἄμοιρος ῥυθμικῆς τινος τομῆς. Λέγεται δὲ τομὴ, ὅταν ἡ ῥυθμικὴ σειρὰ λήγῃ ἐπὶ τῆς μετρικῆς περιόδου. Καὶ ἐὰν μὲν πίπτῃ εἰς τὸ τέλος μετρικῆς περιόδου, ὁρίζει ῥυθμὸν ὁμόστοιχον μὲ τὸ μέτρον, οἷον εἴς τι τοῦ Φερεκράτους (ΑΘΗΝ. 15. 685. α'.).

ὑπ' ἀναδενδράδων ἁπαλὰς | ἀσπαλάθους πατῶντες

⏑ ⏑ ⏑ — ⏑ — ⏑ ⏑ — — ⏑ ⏑ — ⏑ — ⏓

ἐὰν δὲ πίπτῃ εἰς τὸ μέσον μετρικῆς περιόδου, γίνεται ῥητορικὴ, εὑρισκομένη μάλιστα εἰς τὰ ἐπικὰ καὶ εἰς τὰ τραγικὰ τρίμετρα καὶ τετράμετρα, οἷον· Αἰσχύλ. Ἑπτὰ ἐπὶ Θήβ. 1.

Κάδμου πολῖται, χρὴ λέγειν τὰ καίρια.

⏑ | — ⏑ — ⏓ | — ⏑ — ⏑ — ⏑ ⏓

§. 6.

ΠΕΡΙ ΤΗΣ ΑΜΦΙΒΟΛΟΥ ΣΥΛΛΑΒΗΣ.

α') Εὑρίσκονται εἰς τοὺς στίχους μετρικοὶ τύποι, οἵτινες ἐπιδέχονται καὶ μακρὰν καὶ βραχεῖαν συλλαβήν. Καὶ τὸ μὲν μάκρος λαμβάνεται ἐπὶ τοῦ τέλους μετρικῆς περιόδου πρὸς ἔνδειξιν, ὅτι ἀναφύεται νέα περίοδος, οἷον

χρυσέα φόρμιγξ Ἀπόλλω-νος

⏒ ⏑ — ⏓ | ⏒ ⏑ — ⏓

ἡ δὲ βραχύτης μόνον ἐπὶ τοῦ τέλους ῥυθμικῆς περιόδου εἰς τὴν ἄρσιν, οἷον

σαῖς ὑπὸ χερσὶν ἄναξ
⏗ ⏑ ⏑ ⏗ ⏑ ⏑ ⏕

ἐπειδὴ ἡ ῥυθμικὴ περίοδος τελευτᾷ μετὰ τῆς τομῆς καὶ θεωρεῖται ὡς ὅλον τι τέλειον.

β') Ἐπειδὴ δὲ τὸ μάκρος τὸ ἀντὶ βραχέος τιθέμενον ἐνδεικνύει γέννησιν ἄλλων ῥυθμῶν, ἤθελεν εἶσθαι ἀσύμμετρον, ἂν ἡ ἑπομένη περίοδος δὲν ἀνεπτύσσετο ὅλη, οἷον

– ⏑ – ⏓ ¦ –

Διὰ τοῦτο ἡ ἀμφίβολος συλλαβὴ ἀναβιβάζεται εἰς τὴν προηγουμένην βραχεῖαν, οἷον Σοφ. Οἰδ. Τύρ. 1326.

Ἀπόλλων τάδ' ἦν, Ἀπόλλων, ὦ φίλοι
⏑ ⏗ – ⏑ – | ⏑ | ⏗ ⏓ – ⏑ –

Εὑρίσκεται δὲ τοῦτο τὸ μάκρος καὶ ἐπὶ τῶν μετασχηματισμῶν τοῦ τροχαίου, οἷον ἐπὶ τοῦ τριβράχεος ⏗ ⏑ ⏓, καὶ ἐπὶ τοῦ δακτύλου τοῦ ἐλαφροῦ – ⏑ ⏓, οἷον παρ' Ἀρχιλόχῳ·

καὶ βήσσας ὀρέων δυσπαιπάλους· οἷος ἦν ἐφ' ἥβης
– ⏑⏑ – ⏑ ⏑ – ⏑⏑ – ⏑ ⏓ ¦ – ⏑ – ⏑ – ⏓

Μάλιστα δὲ συμβαίνει εἰς τοὺς ἐκ τοῦ τροχαίου γινομένους λυρικοὺς σχηματισμούς, ὅπου ἐξάρχει μὲν τροχαῖος, ὁ δὲ ἑπόμενος τροχαῖος ἀναπτύσσεται εἰς ἐλαφρὸν δάκτυλον, οἷον

εἰς τὸν Φερεκράτειον (Αἰσχυλ. Ἀγαμ.)

οἷος καὶ Πάρις ἐλθὼν
– ⏓ | – ⏑ ⏑ – –

εἰς τὸν Γλυκώνειον (Εὐριπίδ. Φοιν.)

οἰνάνθας γάνος ἀμπέλου
– ⏓ | – ⏑ ⏑ – ⏑ –

εἰς τὸν Ἀνακρεόντειον·

ἀναμίξωμεν Διονύσῳ
⏑ ⏑ | – ⏓ | – ⏑ ⏑ – –

εἰς τὸν Εὐπολίδειον τοῦ Ἀριστοφάνους·

οὐδ' ὑμᾶς ζητῶ 'ξαπατᾶν δὶς καὶ τρὶς ταὔτ' εἰσάγων.
– ⏓ | – ⏓ | – ⏑ ⏑ – ¦ – ⏓ ⏓ | – ⏑ –

Ὅ, τι εἴπομεν περὶ τῶν εἰς τὰς ῥυθμικὰς περιόδους μακρυνομένων λεκτικῶν συλλαβῶν, ἐπικρατεῖ καὶ περὶ τῆς μονοχρόνου ἀνακρούσεως, οἷον

μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων
⏓ ¦ – ⏑ – ⏓ | – ⏑ – ⏓ | – ⏑ –

§. 7.

ΠΕΡΙ ΤΟΥ ΑΡΤΙΟΥ ΜΕΤΡΟΥ.

Α'.

α') Τὸ ἄρτιον μέτρον κατὰ τὴν ἀνάπτυξιν ὀνομάζεται σπονδειακὸν καὶ ἔχει τοὺς ἑξῆς σχηματισμούς·

– –, σπονδεῖος,

– ◡ ◡, δάκτυλος,

– ◡ –, ἀντιδάκτυλος,

– ◡ ◡ ◡, προκελευσματικός.

ΠΕΡΙ ΗΡΩΙΚΟΥ ΜΕΤΡΟΥ.

β') Ἀνήκει ἐνταῦθα τὸ συνήθως ὀνομαζόμενον δακτυλικὸν μέτρον, καὶ ἐκ τούτου τὸ ἑξάμετρον τῶν Ἐποποιῶν, στίχος ἡρωϊκὸς ἐπικαλούμενος. Τοιοῦτος στίχος συμπληροῦται ἀπὸ ἓξ πόδας, τῶν ὁποίων οἱ πέντε εἶναι ἢ δάκτυλοι ἢ σπονδεῖοι, ὁ δὲ ἕκτος σπονδεῖος· ὁ δὲ πέμπτος ὡς ἐπὶ τὸ πλεῖστον εἶναι δάκτυλος, οἷον Ὀδύσσ. λ'. 597.

αὖτις ἔ|πειτα πέ|δονδε κυ|λίνδετο | λᾶας ἀ|ναιδής.
– ◡ ◡ – ◡ ◡ – ◡ ◡ – ◡ ◡ – ◡ ◡ – –

Ὀδύσσ. ζ'. 182.

Ἐσθλὴν | οὐ μὲν | γὰρ τοῦ | γε κρεῖσ|σον καὶ ἄ|ρειον.
– – – – – – – – – ◡ ◡ – ⏓

Ὁ δὲ ἔχων τὸν πέμπτον πόδα σπονδεῖον, ὀνομάζεται σπονδειακὸς ἢ σπονδειάζων, οἷον Ἰλ. β'. 192.

οὐ γάρ | πω σάφα | οἶσθ' οἷ|ος νόος | Ἀτρεί|δαο.
– – – ◡ ◡ – – – ◡ ◡ – – – ⏓

Σπανίως εὑρίσκεται στίχος ἡρωϊκὸς ὅλος συνιστάμενος ἐκ σπονδείων, οἷον Ἰλ. λ'. 130.

Ἀτρεί|δης· τὼ δ' | αὖτ' ἐκ | δίφρου | γουνα|ζέσθην.
– – – – – – – – – – – –

Ἐνίοτε ἀπαντᾶται καὶ ὁ ἀντιδάκτυλος, οἷον Ὀδ. 15, 83.

αὔτως | ἀππέμ|ψει, δώ|σει δέ τι | ἕν γε φέ|ρεσθαι.
– – – ◡ – – – – ◡ ◡ – ◡ ◡ – –

γ') Εἰς τὸν ἡρωϊκὸν στίχον ἀπαριθμοῦνται δεκαὲξ τομαί. Καὶ ἡ μὲν εὑρίσκεται μετὰ τὴν πρώτην συλλαβὴν τοῦ στίχου, οἷον Ὀδύσσ. 12, 439.

ἐελδομένῳ δέ μοι ἦλθεν

ὄψ' | ἦμος δ' ἐπὶ δόρπον,

δευτέρα δὲ μετὰ τὴν πρώτην βραχεῖαν τοῦ πρώτου δακτύλου, οἷον Ἰλ. ι'. 352.

μῆτερ|, ἐπεί μ' ἔτεκές μινυνθάδιόν περ ἐόντα,

τρίτη δὲ μετὰ τὸν πρῶτον πόδα, οἷον Ἰλ. 2, 166.

ὣς ἔφατ'|· οὐδ' ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη,

τετάρτη μετὰ τὴν πρώτην ἄρσιν τοῦ δευτέρου ποδὸς, οἷον Ἰλ. 3, 103.

οἴσετε δ' ἄρν'|, ἕτερον λευκὸν, ἑτέρην δὲ μέλαιναν,

πέμπτη μετὰ τὴν πρώτην βραχεῖαν τοῦ δευτέρου δακτύλου, οἷον Ἰλ. 2, 240.

ἠτίμησεν· | ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.

Τῶν δὲ λοιπῶν τομῶν ἡ δωδεκάτη, συμβαίνουσα μετὰ τὸν τέταρτον δάκτυλον, οἷον Ἰλ. 4, 169.

ἀλλά μοι αἰνὸν ἄχος σέθεν ἔσσεται, ὦ Μενέλαε,

καλεῖται βουκολικὴ, διότι οἱ βουκολικοὶ ποιηταὶ (ὡς Θεόκριτος) μάλιστα μετεχειρίζοντο αὐτήν.

Δύνανται δὲ εἰς ἕνα στίχον καὶ δύο καὶ τρεῖς τομαὶ νὰ συμπίπτωσιν ὁμοῦ, οἷον Ἰλ. 2, 183.

βῆ δὲ θέειν, | ἀπὸ δὲ χλαῖναν βάλε· | τὴν δ' ἐκόμισσεν,


καὶ παρὰ Καλλιμάχῳ

Τιμονόη· | τίς δ' ἐσσί; | μὰ δαίμονας, | οὔ σ' ἂν ἐπέγνων.

§. 8.

ΠΕΡΙ ΕΛΕΓΕΙΟΥ.

Ἐφευρέθη ὕστερον ὁ δακτυλικὸς πεντάμετρος, ὅστις συναπτόμενος μὲ τὸν ἡρωϊκὸν στίχον συνιστᾷ τὸ ὀνομαζόμενον δίστιχον. Ἔχει δὲ τοῦτον τὸν σχηματισμὸν



ὡς παρὰ Θεόγνιδι·

οὔτ' ἔραμαι πλουτεῖν οὔτ' εὔχομαι· ἀλλά μοι εἴη
ζῆν ἀπὸ τῶν ὀλίγων μηδὲν ἔχοντι κακόν.

Ὀνομάζεται δὲ οὗτος ὁ πεντάμετρος καὶ ἐλεγεῖος, ὅθεν καὶ δίστιχα τοιαῦτα πολλάκις ἐπαναλαμβανόμενα καλοῦνται ἐλεγεῖα. Καὶ εἰς μὲν τὸ δεύτερον μέρος φυλάττει τὸν δακτυλικὸν σχηματισμὸν, εἰς δὲ τὸ πρῶτον μεταβάλλει τοὺς δακτύλους ἐνιοτε καὶ εἰς σπονδείους, ἢ ἕνα ἢ καὶ ἀμφοτέρους, οἷον παρὰ Καλλιμάχῳ·

ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος
⏑́ ⏑ ⏑ ⏑́ — | — | — ⏑ ⏑ — ⏑ ⏑ —

κείνου τῶν ἱερῶν αἰσθάνεται κνάθων
⏑́ — | ⏑́ ⏑ | — | — ⏑ ⏑ — ⏑ ⏑ —

καὶ παρὰ Θεόγνιδι·

τῶν δ' ἀνδρῶν πάντων, Κύρν' ἀνιηρότατον
⏑́ — | ⏑́ — | — | — ⏑ ⏑ — ⏑ ⏑ —

Ἄλλοι δὲ στίχοι δακτυλικοὶ ἢ βραχύτεροι ἢ μακρότεροι ἀνήκουσιν εἰς τὸ μικτὸν μέτρον.

§. 9.

ΠΕΡΙ ΑΝΑΠΑΙΣΤΟΥ.

α') Ἐὰν βάλωμεν πρὸ τοῦ δακτύλου τὴν δίχρονον ἀνάκρουσιν, λαμβάνομεν τὸν σφοδρὸν ἀναπαιστικὸν ῥυθμόν,

⏑ ⏑ | ⏑́ ⏑ ⏑ — ⏑ ⏑ — ⏑ ⏑ —

Τὰ βραχέα τούτων συναιροῦνται καὶ εἰς μάκρος, οἷον

⏑⏑ ⏑́ ⏑⏑ —

ἢ τὰ μακρὰ ἀναλύονται εἰς βραχέα, οἷον

⏑⏑ ⏑́⏑ ⏑⏑ ⏑⏑

ὅθεν λαμβάνομεν σχηματισμοὺς παραπλησίους μὲν εἰς τοὺς δακτύλους καὶ προκελευσματικούς, διαφέροντας δὲ ἀπὸ τούτων διὰ τὴν ἄρσιν,

— ⏑́ ⏑ ⏑ ⏑ ⏑́ ⏑

οἷον Αἰσχύλ. Ἀγαμν. 1530.

κάππεσε κάτθανε, καὶ καταθάψομεν,

— ⏑́ ⏑ — ⏑́ ⏑ — ⏑́ ⏑ — ⏑́ ⏑

οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκων

— ⏑́ ⏑ — ⏑́ — ⏑́ — ⏑́

β') Εὑρίσκονται οἱ ἀνάπαιστοι εἰς τοὺς δραματοποιοὺς μάλιστα κατὰ συστήματα, περιέχοντα δίμετρα ἀναπαιστικὰ καὶ τελευτῶντα εἰς τὸν καλούμενον παροιμιακόν,

⏑⏑ ⏑́ ⏑⏑ ⏑́ ⏑⏑ — ⏑

πρὸ τοῦ ὁποίου πολλάκις προηγεῖται μονόμετρον ἀναπαιστικόν, ⏑⏑ — ⏑⏑ —, οἷον Σοφ. Ἀντιγ. 524.

νεφέλη δ' ὀφρύων ὕπερ αἱματόεν
ῥέθος αἰσχύνει
τέγγουσ' εὐῶπα παρειάν.

Παρβ. Αἰσχύλ. Πέρσ. 1—64. Ἀγαμ. 40. 345. 755. 1302. Χοηφ. 300. 366. 394. 707. 842. 1950. Εὐμεν. 300. 888. Προμηθ. 285. 880. 1042.

Σοφ. Αἴας, 134—171. 199—218. 228—239. 1136—1140. Οἰδ. Κολ. 137—146. 167—172. 184—187. 1732—1760., κτλ.

Εὐριπ. Μήδ. 361. 755. 1070. Ἄλκηστ. 30. 285. 760. 880. 900. 930. Ὀρέστ. 1680. Ἴων 82. Ἡρακλεῖδ. 697. Ἰφιγ. Αὐλ. 580., κτλ.

γ') Ἐκτὸς τούτου εἶναι εἰς κωμῳδοποιοὺς εὔχρηστος καὶ ὁ ἀναπαιστικὸς τετράμετρος, ὁ Ἀριστοφάνειος ἐπικαλούμενος, διότι Ἀριστοφάνης τὸν μεταχειρίζεται πολλάκις εἰς τὰς κωμῳδίας, οἷον Ἀριστοφ. Νεφ. 264.

⏑⏑ | ⏑́⏑ ⏑⏑ ⏑́⏑ ⏑⏑ ⏑́ ⏑ ⏑⏑ ⏑́⏑ ⏑⏑ ⏑́ ⏑ ⏑́⏑ ⏑⏑ — ⏑ ⏑ — —
ὦ δέσποτ' ἄναξ ἀμέτρητ' ἀήρ, ὃς ἔχεις τὴν γῆν μετέωρον.

Ὁ ἕβδομος ποῦς ὡς ἐπὶ τὸ πλεῖστον εἶναι καθαρὸς ἀναπαιστικός. Εἰ δέ τινες εὑρίσκονται ἀναπαιστικοὶ στίχοι ἔχοντες πρὸς τὸ τέλος

σπονδεῖον, ὀνομάζονται οὗτοι καθ' Ἡφαιστίωνα λακωνικά, διότι οἱ Λακεδαιμόνιοι εἰς τὰ πολεμικὰ μέλη ἠγάπων τὴν σπονδειακὴν ἐκβολήν. Ἡ κυρία τομὴ τοῦ τετραμέτρου τούτου συμβαίνει μετὰ τὴν δευτέραν διποδίαν. Μετὰ παιδιᾶς Ἀριστοφάνης ὑποβάλλει εἰς τὴν τομὴν τοῦ στίχου τὸ ὄνομα Ἀθηναῖοι (Ἀχαρν. 645.)

ὅστις παρεκινδύνευσεν Ἀθηναίοις εἰπεῖν τὰ δίκαια.
— ´ ⏑ ⏑ ´ — ´ ⏑ ⏑ ´ — ´ — — ⏑ ⏑ — ⏓

Πρὸς γύμνασιν πρβ. τοὺς ἀναπαιστικοὺς τετραμέτρους παρ' Ἀριστοφάνει, Ἀχαρν. 626—658. Ἱππ. 507—546. Νεφ. 263—274. 291—297. 314—437. Ὀρν. 460—522. 685—722. Θεσμοφ. 785—813. Λυσιστρ. 484—531., κτλ.

§. 10.

Β'.

α') Κατὰ δευτέραν ἀνάπτυξιν τὸ ὄρθιον μέτρον ἐνδεικνύει δύο τόνους, ὧν ἑκάτερος δύναται νὰ ἀναλυθῇ εἰς τρεῖς βραχεῖς, οἷον

´ — σπονδεῖος τρίχρονος.
— ⏑ — ⏑ } τροχαϊκὴ διποδία.
´ ⏑ ⏑ ´ ⏑ ⏑ }

Ἐκ δὲ τοῦ τελευταίου τριβραχικοῦ σχηματισμοῦ κατ' ἐλάττωσιν τῆς ἄρσεως σχηματίζεται καὶ ὁ ἐλαφρὸς δάκτυλος ´ ⏑ ⏑ ´ ⏑ ⏑, εὑρισκόμενος πολλάκις μεταξὺ τῶν ἄλλων τροχαϊκῶν σχηματισμῶν. Εἶναι λοιπὸν διποδία ἡ περίοδος τῶν τοιούτων.

β') Ἀναλυομένου δὲ τοῦ ἑτέρου τόνου, ὅλος ἕκαστος τοιοῦτος σχηματισμὸς συμπληροῖ μίαν περίοδον, οἷον

α'.	β'.
´ — ⏑⏑ βακχεῖος	´ ⏑⏑ — κρητικός
— ´ ⏑ ⏑ παιὼν πρῶτος	´ ⏑⏑ — παιὼν δεύτερος
— ´ ⏑ ⏑ ἰωνικὸς ἀπὸ μείζονος	´ ⏑⏑ — χορίαμβος.

§. 11.

α') Ὁ μὲν ἀδιάλυτος σχηματισμὸς ´ — ἀπαντᾶται πολλάκις εἰς ἐλευθερωτέρους ῥυθμούς, καὶ ἔχει μεγάλην ἔμφασιν, οἷον Αἰσχύλ. Ἀγαμ. 154.

Ζεὺς ὅστις ποτ' ἐστὶν εἰ τόδ' αὐ-
τῷ φίλον κεκλημένῳ.

Πρβ. Εἰρην. 311. καὶ τοὺς ἑξῆς Ἱκέτ. 491.

ΠΕΡΙ ΤΡΟΧΑΙΟΥ.

β) Τῆς δὲ τροχαϊκῆς διποδίας καὶ ὅλως τοῦ τροχαϊκοῦ ῥυθμοῦ εἶναι πολλὰ ἐπιτεταμένη ἡ χρῆσις, οἷον α') κατ' ἄρσιν·

1. *μονόμετρον καταληκτικὸν* ⌐ ∪ — ♩♪♩ 𝄾 *εὑρισκόμενον καὶ εἰς ἀρχὴν καὶ εἰς τέλος μετρικῶν σειρῶν, οἷον μὴ φθόνει ταῖς νέαισι* (*Ἀριστ. Ἐκκλησ.* 900.),

2. *μονόμετρον ὑπερκατάληκτον* — ∪ — ∪ | — *οἷον Σοφ. Ἠλ.* 288. —

κείσεται τάλας,
οἱ δὲ μὴ πάλιν
δώσουσ' ἀντιφόνους δίκας.

3. *δίμετρον καταληκτικόν,* — ∪ — ∪ | — ∪ ⏓, *οἷον Σοφ. Ἠλ.* 473.

ἀρτίως ὀνειράτων.

4. *δίμετρον ὑπερκατάληκτον,* — ∪ — ∪ | — ∪ — ∪ | —, *ὡς Σοφ. Ἀντ.* 828.

ἔρχομαι τάφου ποταινίου.

5. *τρίμετρον καταληκτικὸν,* — ∪ — ⏓ | — ∪ — ⏓ | — ∪ ⏓, *ὡς Εὐρ. Ὀρ.* 140. *σῖγα, σῖγα, λεπτὸν ἴχνος ἀρβύλης.*

6. *τρίμετρον ὑπερκατάληκτον,* — ∪ — ⏓ | — ∪ — ⏓ | — ∪ — ∪ | —, *Αἰσχύλ. Ἱκετ.* 115. *εἰ δὲ μὴ μελανθὲς ἡλιόκτυπον γένος.*

7. *τετράμετρον καταληκτικὸν,* — ∪ — ⏓ | — ∪ — ⏓ | — ∪ — ⏓ | — ∪ ⏓, *εὐχρηστότατον καὶ μάλιστα εἰς συστήματα, οἷον Σοφ. Οἰδ. Τύρ.*

ὦ πάτρας Θήβης ἔνοικοι, λεύσσετ' Οἰδίπους ὅδε.

Καὶ ὅτι μὲν ἀναλυομένου τοῦ μάκρους ἐνίοτε ἐπιδέχεται καὶ δακτυλικοὺς καὶ ἀναπαιστικοὺς σχηματισμοὺς, φανερὸν εἶναι καὶ ἐκ τῶν ἔμπροσθεν εἰρημένων. Ἰδὲ Ἀριστοφ. Ἀχαρν. 204. 234—236. 676—691. 702—718. *Ἱππ.* 247—283. 312—320. 391—396. 565—580. 595—610. 1274—1289. 1300—1315. *Νεφ.* 575—594. 607—626. 1115—1130., *κτλ.* *Ἡ δὲ κυρία τομὴ συμβαίνει μετὰ τὴν δευτέραν διποδίαν, οἷον Εὐρ. Ὀρ.* 1517.

εὖ λέγεις· σώζει σε σύνεσις· ἀλλὰ βαῖν' εἴσω δόμων.
— ∪ — ⏓ | — ∪ ⌐ ∪ ∪ |

Ἰδιαίτερος σχηματισμὸς τοῦ τετραμέτρου εἶναι ὁ παρ' Ἀριστοφάνει (Λυσιστρ. 1014—1035.).

